DELECTUS

POESIS GRAECORUM

ELEGIACAE, IAMBICAE, MELICAE.

EDIDIT

F. G. SCHNEIDEWIN.

[vol. 1]

SECTIO I. POETAE ELEGIACI.

GOTTINGAE

APUD VANDENHOECK ET RUPRECHT.

MDCCCXXXVIII.

DELECTUS

POETARUM ELEGIACORUM

GRAECORUM.

EDIDIT

F. G. SCHNEIDEWIN.

GOTTINGAE

APUD VANDENHOECK ET RUPRECHT.

MDCCCXXXVIII.

I.

POETARUM ELEGIACORUM RELIQUIAE.

INDEX POETARUM ELEGIACORUM.

DAHLMANNO. GERVINO.
GRIMMIIS. F. RANKIO.
F. TH. WELCKERO.

S.

Τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.

PRAEFATIO.

Magno hiatu saeculorum ab Aeschylo distinentur et Pindaro Homerus Hesiodusque. Nam qui poetae medium inter utrosque locum explevere, eorum quum memoriam constat multum esse obscuratam, tum carmina injuria temporum intercidisse pleraque omnia. Adumbratio autem historiae Graecarum literarum quanquam illis in saeculis, ut in obscuris et a communi hominum notitia semotioribus, commorari gestit declamandoque exsultat et exuberat, tantum abest, ut integrorum corporum interitum narratione accurata et sub sensus subjecta elevet, ut fortius excitare soleat ipsarum reliquiarum desiderium. Quemvis enim puto paullo erectioris indolis ita sentire expertum, ut nihil magis necessarium esse existimet, quam saeculorum illorum monumenta explorasse, si quis vel recentiorum poeta-

rum virtutes intelligenter pensitare vel cognoscere gradus eos volet, quibus ad Aeschyli et Pindari praestantiam paullatim ascensum sit. Plerique quidem incerto quodam rumore ambiguisque laudibus illorum qui interiere poetarum excellentiam tanquam e longinquo venerantur: accuratiore cognitione et quae ex gnavo reliquiarum ipsarum studio efflorescat, carent. Sunt qui illorum poetarum *fragmenta* procul a se amoveant, in integris demum scriptoribus habitare, *fragmenta* despicere pulchrum arbitrati. Illis studui gratum facere: hos ego ab instituto meo procul amoveo.

Nec defuere ante nos qui similia consilia agitarent particulasque illarum reliquiarum decerptas proponerent, quo damnum illud literis Graecis importatum quodammodo sarciretur. Verum illa opera Mich. Neandri, H. Stephani, Fulv. Ursini, Ric. Brunckii aliorum vel dudum exoleta vetustate perierunt et ex hominum manibus evanuere, vel non satisfaciunt doctiorum hominum desideriis, velut Gaisfordii et Gilesii Britannorum poetae minores, Mehlhornii nostratis Anthologia lyrica. Nec id mirum. Quippe multorum industriam opus erat consumi in colligendis et curatissime pertractandis singulis singulorum poetarum fragminibus, antequam ex omni silva selecta et modica supellectile exornata in libellum continuo filo deductum derivari possent ab uno. Illud nunc factum haud exiguo antiquarum literarum emolumento constat. Neque tamen illis doctorum studiis provisum est,

ut reliquiarum illarum lectio increbesceret eruditorumque hominum et qui hoc agerent claustris perfractis in Academiarum et Gymnasiorum auditoriis frequentaretur. Multi enim scripsere in eum finem, ut lacera poetarum membra vel exquisitae, at molestae tamen, vel de trivio haustae eruditionis undis immergerent: paucissimi, ut quantum posset fieri, emendatiora fragmenta et necessariis enarrationibus explicatiora ad lectitandum ultro allicerent; pauciores denique, ut singulorum poetarum virtutes expenderentur et quemnam in omni literatura Graeca locum obtinuissent clara collustratum luce patesceret. Verum, ut omnes munere suo functi sint optime: quotusquisque est, qui tam vel opibus abundet et empturiat, vel beatus otio luxurietur, qui illa volumina singula in suum sibi usum pararo et quae poetarum sunt, quae domo attulere editores, aequo animo excutere sustineat?

Institui igitur hunc delectum sat, opinor, illum vendibilem, ita, ut singula poesis Graecae genera dispescerem, Elegiam, Iambos, Melica carmina; et hanc mihi scriberem legem, ut nisi qua aliud suaderent — interdum enim deflectere visum est — singuli poetae eo quo vixissent ordine sese exciperent. Singulis praefixi, quo reliquiarum ipsarum explicationi viam munirem, Suidae aliorumve Grammaticorum narrationes: raro, ut in Theognide, ad uberius disserendum provectus sum. Locos poetarum selegi eos, qui mihi in aliquam tandem partem viderentur memorabiles esse et utilitatis delecta-

tionisque aliquid habituri etiam iis, qui in aliis antiquarum literarum locis lubentius versarentur, ad hos tamen poetas devertere solerent interdum. Fortasse, fatebor enim, non ad eam judicii jejunitatem operam meam attenuavi, quam exspectent ii qui nonnisi paullo longiores reliquias easque poeticis virtutibus nitentes sibi discipulisque suis apponi desiderent. Scilicet vel sic subrepebat dolor, si quid instituti nostri rationes resecari jubebant. Ad Anacreonteorum quidem lusuum fabricatores, hoc est ad Autronios et Stajenos, descendere timui: ex illis cuivis recidere licebit et eliminare quaecunque non erunt sui saporis.

Artis criticae instrumenta addidi haec. Ubique indicavi controversae lectionis fontes fontiumque diversitatem. Quod mihi eo magis requiri videbatur posse, quo saevius quorundam doctorum et olim et admodum nunc lubidinem in hos truncos scilicet grassari indignabar. Jam hoc effectum est, ut quo quaeque scriptura fundamento insistat, in proclivi sit primo obtutu cognoscere. Ex horreis criticorum repetii si quid vel nunc dignum esset cognitu et quod ad instaurandam dubiorum locorum integritatem conducibile foret. Conjecturas ab emendationibus distinxi ita, ut illas in imo margine signarem, his in ipsa verborum continuatione locum concederem, vel quod exemptae dubitatione viderentur vel quia ad id quod verum est ducere. Qui tamen fortes esse volent, eos non dubito quin in hac parte multa contra praescriptam

normam commissa rimari possint et exagitare. Interdum enim facile largior me cornua sumpsisse in iis potissimum poetis, quorum reliquiae foedissimis ulceribus deturpatae jacent. Ut audaculi medici faciunt, qui instante vitae periculo vel ad urendum et secandum artem manusque conferunt. Librorum tamen vitia ubique subscripsi, fundamenta emendaturis.

Commentarios nec potui conscribere et nolui. Et discentibus et doctis ibi conatus sum succurrere, ubi verborum et rerum intellectus tardari posse videretur objectu difficultatum: a rebus quotidianis et pervagis inculcandis abhorrui. Illud curae fuit, ut quid ex antiquioribus poetis fluxisset, quid a posterioribus poetis et Romanis in imitationem tractum curiosius indicarem. Quo in genere larga tamen messis exspectat eos, qui *ἅμα πρόσσω καὶ ὀπίσσω* speculari didicerunt. Denique non vulgare justae explicationis praesidium in eo positum judicavi, ut quem ad finem singuli scriptores singula fragmenta excitassent, adscribendis ipsorum verbis vel praemissis vel postpositis clareret.

Multi me ad hunc libellum concinnandum instigarunt, et instigarunt currentem, ut ajunt. Fruantur igitur hoc delectu, qui mecum per haec amoenissima prata paucorum trita pede volitantes delibanda variorum florum ubertate vel pabulum ingenii vel honestam remissionem animi quaerent. Mihi certe libelli confectio et jucunditatem attulit incredibilem et eximio fuit solatio. Nam in his

temporum procellis et fortunarum nostrarum ruinis nonnisi ex sancto Musarum contubernio eam animi tranquillitatem et fortitudinem reportes, quae te vel magnis variisque curis anxium non sinat labascere et ad speranda meliora traducat.

Scribebam in Academia Georgia Augusta ipsis Kal. Novembr. MDCCCXXXVIII.

I. Callini Ephesii Elegia.

Olymp. XVIII. (1)

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω·
Τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυςμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
Οὐ γάρ πως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν

Callini Elegiam servavit Stobaeus Floril. LI, 19. Poeta Ephesius cives suos cohortatur ad pericula ab hostibus, quos Cimmerios fuisse statuunt, patriae imminentia gnaviter propulsanda. 2. Homerus Odyss. *B*, 65 sq. 5. Fr. Thierschio Actt. Philoll. Monacc. III, 577 sqq. ambiguum videbatur, utrum ea quae sunt post lacunam Callino essent an Tyrtaeo vindicanda. Apud Stobaeum eidem poetae continuantur. Franckius Callin. 100. post versum quartum inculcat haec a Strabone servata XIV, 647.

Νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοέργων.

8. *τότ' ἔσσεται* codex B: alii *κοτ'* vel *ποτ' ἔσσεται.* 12. *πως* A: vulgo *κως*.

ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων·
πολλάκι δηϊότητα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου·
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,

τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος· ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

II. Tyrtaei Aphidnaei.

Circa Olymp. XXIII—XXVIII.

Ἀγαθὸς νέων ψυχὰς αἰκάλλειν. Leonidas.

Suidas: *Τύρταιος Ἀρχιμβρότου, Λάκων ἢ Μιλήσιος, ἐλεγειοποιὸς καὶ αὐλητής, ὃν λόγος τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακεδαιμονίους καὶ πολεμοῦντας Μεσσηνίοις ταύτῃ ἐπικρατεστέρους ποιῆσαι. Ἔστι δὲ παλαίτατος,*

---

13. *εἰ — ᾖ* libri: *ἦν — ᾖ* Brunckius. 16 sqq. Poeta sic ratiocinatur, ut *mortem quidem nullo pacto vitari posse dicat, pericula posse:* nam verba *θάνατόν γε φυγεῖν* et *πολλάκι δηϊότητα φυγών* sibi respondent —: *aut igitur mortem oppeti, aut effugi. Qui autem salvi atque integri in patriam revertantur, diversa frui condicione: eum non carum esse suis* (si qui turpiter se periculis subduxerit; sed qui fortiter depugnaverit) *eum vero aut lugeri, si quid ipsi acciderit, aut summo affici a civibus suis honore.* Quae si vere disputata sunt, quaedam exciderint necesse est: non habet enim quo referatur *ὁ μέν* illud vers. 15. et *τὸν δέ* vers. 17. Persimilis est Tyrtaei locus *Ὑποθηκῶν* IX, 23 sqq. 18. 19. Franckio Callin. 103. a rhapsodo adjecta sunt.

II. Tyrtaeus. De Eunomia Aristoteles Polit. V, 6. *Ἐν ταῖς ἀριστοκρατίαις γίνονται αἱ στάσεις — ὅταν οἱ μὲν ἀπορῶσι λίαν, οἱ δ' εὐπορῶσι· καὶ μάλιστα ἐν τοῖς πολέμοις τοῦτο γίνεται. Συνέβη δὲ καὶ τοῦτο ἐν Λακεδαίμονι ὑπὸ τὸν Μεσσηνιακὸν πόλεμον. Δῆλον δὲ καὶ τοῦτο ἐκ τῆς Τυρταίου ποιήσεως τῆς καλουμένης Εὐνομίας· θλιβόμενοι γάρ τινες διὰ τὸν πόλεμον ἠξίουν ἀνάδαστον ποι-*

σύγχρονος τοῖς Ἑπτὰ κληθεῖσι Σοφοῖς ἢ καὶ παλαίτερος. Ἤκμαζε γοῦν κατὰ τὴν λε΄ Ὀλυμπιάδα. Ἔγραψε πολιτείαν Λακεδαιμονίοις καὶ Ὑποθήκας δι᾽ ἐλεγείας καὶ Μέλη πολεμιστήρια, βιβλία ε΄.

I. Εὐνομία.

1.

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
  Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
  εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

2.

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ᾽ ἔνεικαν
  μαντείας τε θεοῦ καὶ τελέεντ᾽ ἔπεα·

εἶν τὴν χώραν. Messenii autem Ira occupata ex Laconico agro omnis generis praedas agebant: ὥστε, teste Paus. IV, 18, I. 2., καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἴρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προςεχῆ, ἕως ἂν πολεμῶσιν, ἐᾶν ἄσπορον. Καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες τὰ σφέτερα ἀργὰ εἶναι· καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τύρταιος. Vide Thiersch. l. c. 612. Muelleri Dorr. I, 47.

Fr. 1. Strabo VIII, 362. Τύρταιός φησιν ἐν τῇ ἐλεγείᾳ, ἣν ἐπιγράφουσιν Εὐνομίαν. Versu 2. τήνδε πόλιν *terram Laconicam:* ἀφικόμεθα, *nos, qui Dorienses sumus.* Ἐρινεὸς erat μία τῆς Δωρικῆς τετραπόλεως: ἐντεῦθεν ὁρμηθεῖσι τοῖς Ἡρακλείδαις ὑπῆρξεν ἡ εἰς Πελοπόννησον κάθοδος, Strabo IX, 427.

Fr. 2. Plutarchus Lycurg. VI. et Diodori Exc. Vatic. p. 3. Dindorf. Plutarchus: Ὕστερον μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ προσθέσει τὰς γνώμας διαστρεφόντων καὶ παραβιαζομένων, Πολύδωρος καὶ Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ παρενέγραψαν· Αἱ δὲ σκολιὰν ὁ δᾶμος αἱροῖτο, τοὺς πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποστατῆρας εἶμεν. τοῦτ᾽ ἔστι μὴ κυροῦν, ἀλλ᾽ ὅλως ἀφίστασθαι καὶ διαλύειν τὸν δῆμον ὡς ἐκτρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην παρὰ τὸ βέλτιστον· ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν, ὡς τοῦ θεοῦ ταῦ-

[δὴ γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου·]
Ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις·
πρεσβυγενεῖς τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας,
εὐθείαις ῥήτραις ἀνταπομειβομένους·
μυθεῖσθαι δὲ τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
μηδέ τι βουλεύειν τῇδε πόλει . . . .·
δήμου δὲ πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

τα προστάσσοντος, ὥς που Τυρταιος ἐπιμέμνηται διὰ τούτων· Φοίβου κτλ.

Versus 3. 4. accesserunt ex Diodoro. Uncis saepsi, interpolatori deberi ratus. Prioris enim distichi vis mirifice frangi videtur ignavis illis versibus assutis. Et cur tandem Apollo cumulatis appellationibus vocatur ἀργυρότοξος, ἄναξ ἑκάεργος, χρυσοκόμης? cur, quaeso, additur πίονος ἐξ ἀδύτου? Recte quidem Theogn. 222. πίονος ἐξ ἀδύτου. Quae inania sunt ornamenta. Si Tyrtaei essent, scripsissem ὧδε γὰρ ἀργ. vel τῇδε: Hermannus δὴ γὰρ ὁ ἀργ., Dindorfius δὴ γάρ ῥ' ἀργ. 7. Πρεσβύτας τε γέροντας Plutarchus, πρεσβυγενεῖς δὲ γέρ. Diodorus. Correxi: τε necessarium: nam τὴν ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν γνώμην ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. De mensura vocis δημότας, ut infra VI, 1. δεσπότας v. Buttmanni Gr. Max. I, 144. 8. εὐθείην ῥήτρας Diodorus. Vulgatam scripturam Nitzschius Melett. de Hist. Homeri I, 54. explicat: *Suffragati scitis Senatus nihil inflexis*, vel *nihil ut inflectantur*. Aliter Franckius Callino 173 sqq.; mire Schaeferus: *Sua sibi quique jura ita servantes, ut aequilibrium inter omnes oriatur*. Recte Muellerus Dorr. II, 541. ita explicat, ut poeta dixerit, populum debere simpliciter aut probare aut reprobare τὰ τοῖς βασιλεῦσι καὶ τοῖς γέρουσι δόξαντα. Ῥῆτραι sunt leges quae vel proponuntur a regibus cum Senatu, vel a populo sanciuntur. Dicit igitur poeta, non *ad quales* ῥήτρας respondendum sit, sed *quae* sint ῥῆτραι referendae. Ut apud Homerum ubique est ἀμείβεσθαί τινα μύθῳ, μύθοις, ἐπέεσσι. Adde Krebsium in Lectt. Diodor. 140 sqq. et Epimetro 250 sqq. 9. τε Dindorfius. Versus 9—14. unus Diodorus habet. Fateor mihi suspectos esse. 10. Diodorus μηδέτι ἐπιβουλεύειν τῇδε πόλει. Placuit hominibus doctis hariolari τῇδε πόλει σκολιόν, βλαβερόν, σφαλερόν, τῇδε πόληϊ νέον. 11. δέ Krebsius: vulgo τε. 12. ἀνέφηνε Maius; ἀπέφηνε tacite Bachius.

3.

Ἡμετέρῳ βασιλῆϊ, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον·
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν.

4.

Ἀμφ᾽ αὐτὴν δ᾽ ἐμάχοντ᾽ ἐννεακαίδεκ᾽ ἔτη
νωλεμέως, αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ᾽ οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

5.

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι
δεσποσύνοισι φέροντες ἀναγκαίης ὑπὸ λυγρῆς
ἥμισυ πάνθ᾽ ὅσσον καρπὸν ἄρουρα φέρει.

6.

Δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν᾽ οὐλομένη μοῖρα κίχοι θανάτου.

Fr. 3. Paus. IV, 6, 2. *Ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ· μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν Τυρταίου λέγοντα· Ἡμετέρῳ κτλ.* De mensura versus 1. vide Hermann. Orph. 693. Versum tertium servatum a Scholiasta Platonis Alcib. I, 338. Legg. 448. Bekker. adjiciendum docuit Buttmannus in Alcib. I, 122, C.

Fr. 4. Strabo VI, 279. *Μεσσήνη ἑάλω πολεμηθεῖσα ἐννεακαίδεκα ἔτη, καθάπερ καὶ Τύρταιός φησι· Ἀμφ᾽ αὐτὴν κτλ.* Confer Pausan. IV, 15, 1. qui versus tres priores affert; et IV, 13, 4., cll. Mueller. Dorr. 1, 145. Franckius Callin. 193. ad *Ὑποθήκας* rettulit frr. 4. 5. 6.

Fr. 5. Paus. IV, 14, 3. *Τιμωρίαι ἃς ὕβριζον ἐς τοὺς Μεσσηνίους Τυρταίῳ πεποιημέναι εἰσίν· Ὥσπερ κτλ.* Versu 3. libri *ἥμισυ πάνθ᾽ ὅσσων:* Kuhnius *ἥμισυ πᾶν, ὅσσον. Ἥμισυ πάνθ᾽* recte defendit Bernhardy Synt. 334., sed *ὅσσον* res ipsa requirebat. Xen. Cyrop. III, 3, 47. *ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττηθέντες.* Anab. VI, 2, 10. *ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ὅλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί.*

Fr. 6. Paus. l. c. *Ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη, δεδήλωκεν ἐν τῷδε· Δεσπότας κτλ.*

II. Ὑποθῆκαι.

7.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ᾽ ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον·
ἢν δ᾽ αὑτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ᾽ ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ᾽ ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ᾽ εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ᾽ ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ᾽ ἀτιμίη καὶ κακότης ἕπεται.
Εἰ δ᾽ οὔ πως ἀνδρός τοι ἀλωμένου οὐδεμί᾽ ὤρη
γίγνεται οὐδ᾽ αἰδὼς εἰςοπίσω τελέθει,
θυμῷ γῆς περὶ τῆςδε μαχώμεθα καὶ περὶ παίδων,
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι·
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ᾽ ἀλλήλοισι μένοντες
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
μηδὲ φιλοψυχεῖτ᾽ ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ᾽ ἐλαφρά,

II. *Ὑποθῆκαι.* Fr. 7. Lycurgus in Leocrat. XXVIII. Illud *γὰρ* ab initio positum spectat ad versum 13. 14. *θνήσκωμεν κτλ.*; longius disjunctum est ab illis, quoniam poetae menti miserrima exsulum fortuna obversabatur, quam adumbraret vividissime. Versus 3—13. quasi parenthesis loco habendi. Hinc explicatur quod *εἰ δ᾽ οὔ πως* sqq. dixit poeta versu 11. Versu 1. *ἐπὶ προμάχοισι* libri: *ἐνὶ* Franckius. 3. *ἢν δ᾽ αὑτοῦ* Franckius: vulgo *τὴν δ᾽ αὐτοῦ* vel *τὴν δ᾽ αὑτοῦ*. 9. *τε* respondet particulae *μέν*, v. Hermann. Viger. 836. 11. *εἰ δ᾽ οὕτως* Franckius: *εἶθ᾽ οὕτως* libri. Ego *εἰ δ᾽ οὔ πως*. Hermannus in Zimmermanni Diar. Philol. 1835, 75. p. 696. *Εἰ δ᾽ οὕτως οὔτ᾽ ἀνδρὸς ἀλ. οὐδ. ὤ. γ. οὐδ᾽ αἰδώς, ἔς τ᾽ ὀπίσω τελέθει, θυμῷ κτλ.* Voci *οὔτε* respondere *ἔς τε* omisso v. *οὐ*, de quo dixit in Eur. Iph. Taur. 1335. 12. Codd. ABP *οὔτ᾽ ὀπίσω*,
ἐσ
L *οὔτ᾽ ὀπίσω* (sic), Z *οὐδ᾽ ἐς τ᾽ ὀπίσω*. Tum pro vulg. *τελέθει* codd. AB *τέλος*. Num *οὐδ᾽ ὄπις ἐς τὸ τέλος*? 14. Distinxi post v. *παίδων*. 19. Confer Homeri Il. *X*, 71 sqq.

μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς·
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
  κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
  θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλης ἐν χερσὶν ἔχοντα —
  αἰσχρὰ τάδ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν —
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
  ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
  ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
  στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

8.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
  θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε,
  ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
  κῆρας ὁμῶς αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρεος πολυδακρύου ἔργ' ἀΐδηλα,
  εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
  ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.

---

25. Legebatur φίλαις ἐνὶ χ., Z φίλ' ἐνὶ χ. Reliqui ἐν. 26. Libri τά γ'; Baiterus et Sauppius τάδ', Hermannus Epist. ad Bachium data p. 4. τά τ'. Ibidem νεμεσήτ' ἐνιδεῖν Reiskius. 29. θηητός Reiskius: libri θνητοῖσιν. 31. Vide Homeri Il. *M*, 457 sqq.

Fr. 8. Servavit Stobaeus Floril. L, 7. Versu 5. ἐχθράν, ut VII, 20. αἰσχρᾶς, non ἐχθρὴν, αἰσχρῆς, v. Exercitatt. Critt. nostras post Eustathii Prooem. 41 sqq. 6. κῆρας αὐγαῖς A: κῆρας ἐπ' αὐγαῖσιν B. Grotii emendationem ab Hermanno nuper probatam suscepimus. An ἐπ' ἶσ' αὐγαῖς? 7. Legebatur Ἄρεως. Ibidem ἀΐδηλα Arsenius et margo Gesneri. Vulgo ἀρίδηλα. 9. πρὸς φευγ. B, v. Intpp. Greg. Cor. 104 sqq.: παρὰ φ. Voss., μετὰ φ. vulgo.

οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
 ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
 τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
 ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
Ἀργαλέον γὰρ ὄπισθε μετάφρενον ἐστὶ δαΐζειν
 ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσιν
 νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
 στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
 ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
 κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
 μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
 ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω·
καὶ πόδα πὰρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
 ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
 ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
Ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
 πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
 τοῖσι πανοπλίταις πλησίον ἱστάμενοι.

---

15. Fortasse ταῦτ' ἀλέγων, v. Intpp. Pind. Ol. II, 78. οὐδ' εἷς δ' ἄν π. Ursinus. 17. ἀργαλέον δαΐζειν illustrat Bernhardy Synt. 360. 19. αἰσχρὸν Brunckius ex marg. Stobaei. κακκείμενος A. Vulgo κατακείμενος. 27. πολεμίζων Arsenius, 29 sqq. Confer Homeri Il. *N*, 128 sqq. 37. ἐς αὐτούς, *hostes*. Franckius ἐς ἄκρους *principes, duces*. 38. ἐγγύθεν ἱστ. B.

9.

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηΐκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύραο πλέον,
οὐδ' εἰ Ταντᾰλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς
— οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ —
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
Ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ·
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης·
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,

Fr. 9. Affert Stobaeus Floril. LI, 1 Ibidem 5. sunt vv. 15—44. Versum 1. citat Plato Legg. I, 629, A. II, 660, E., ubi *τιθείμην*, Stobaeus *τιθείην*. Vide Valckenar. ad Herod. II, 141. Confer Theognidea 701 sqq. 6. Sic B: *Κινυρέοιο μᾶλλον* Trincav. *Κινύρεω βάθιον* Camerarius. Vide Platonem Rep. III, 408, B. et Legg. III, 660, E. *Ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον.* Macarius 451. Walz. *Τὸν Μίδου πλοῦτον ἔχειν· ἐν ὑπερβολῇ λέγεται.* De Cinyrae opulentia vide Valckenarii Callimachea 118. 8. *Μελίγηρυς Ἄδραστος* est Platoni Phaedr. 269, A. 13. *ἥδ' ἀρετή, τόδ' ἄεθλον* Hermannus: B *τόγ' ἄριστον — ἄεθλον*: vulgo *ἡ δ' ἀρετή, τόδ' ἄεθλον.* 19. Libri *δὲ πεσεῖν*. Emendavit Hermannus Ep. ad Bach. p. 5. et Emperius.

πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος·
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
Οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ·
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην·
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι·
γηράσκων δ' ἀστοῖσι μεταπρέπει οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πόλεμον.

10.

Αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμόν.

11.

Πρὶν ἀρετῆς πελάσαι τέρμασιν ἢ θανάτου.

---

31. Vulgo *οὐδέποτε*: emendavit Hermannus. 37. *μιν*. Omittit A. Malim *μέν*. Vulgo versus hoc ordine se excipiebant: 41. 42. 39. 40. Transponendos docuit Thierschius Actt. Monacc. III, 636. Confer Theognidea 935 sqq. 44. *πολέμου* Gesneri Margo et Ursinus, qui cum Trinc. *θυμὸν* exhibet.

Fr. 10. Galenus de Hippocr. et Platon. I, 267. Basil. Τύρταιος δέ γε, καθάπερ οὖν καὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ ἁπλῶς εἰπεῖν ἅπαντες οἱ ποιηταὶ σφοδρότατον ἔχειν φασὶ τοὺς λέοντας τὸν θυμὸν, ὥστε καὶ τῶν ἀνθρώπων ὅστις ἂν ᾖ θυμοειδέστατος εἰκάζουσι λέοντι.

Fr. 11. Plutarchus Morall. II, 1039.

12.

Eustratius in Aristotelis Eth. Nic. III, 8. 5. ad verba: *Καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιούτων παρατάττοντες* haec habet: *Τοῦτο περὶ Λακεδαιμονίων λέγοι ἄν· τοιαύτην γάρ τινα μάχην ὅτε πρὸς Μεσσηνίους ἐμαχέσαντο, ἐπολέμουν, ἧς καὶ Τύρταιος μνημονεύει.* De pugna ista *ἐπὶ τῇ μεγάλῃ τάφρῳ* tertio belli anno pugnata confer Paus. IV, 6, 1; 17, 2. Polyb. IV, 22. Muelleri Dorr. I, 171. ed. Anglic.

III. *Ἐμβατήρια ἢ πολεμιστήρια μέλη.*

13.

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου,
κοῦροι πατέρων, πολιῆται,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως πάλλοντες,
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾶς Σπάρτας.

14.

Ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν.

III. *Ἐμβατήρια ἢ πολεμιστήρια μέλη.* De embateriis vide Muelleri Dorr. II, 334. Doricam dialectum habent. Carmen decimum tertium affert Dio Chrysostomus I, 92. Rsk. indeque sumptum Tzetzes Chill. I, 26. v. 692 sqq. Dixit de his versibus praeter alios Hermannus Viger. 935 sq. 2. *κοῦροι πατέρων digni patribus filii.* Soph. El. 365. 4. Libri *βάλλοντες*: emendavit Thierschius. *Commemorantur sinistrae dextraeque manus officia.* Hermannus. Cogitatione adde *δεξιᾷ δέ*, quod hastae mentio per se docet. Vide Bernhardyi Synt. 457. 6. Tzetzes *τᾷ Σπάρτᾳ.*

Fr. 14. Hephaestio VIII, 1. p. 46, 3. Gaisf. affert, sed omisso nomine auctoris: *Τὸ τὸν σπονδεῖον ἔχον, ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα, εἰσὶν οἳ Λακωνικὸν καλοῦσι, προφερόμενοι παράδειγμα· Ἄγετ' κτλ.*

15.

Cantilena Messeniorum.

Ἔς τε μέσον πεδίον Στενυκλήριον ἔς τ' ὄρος ἄκρον
Εἵπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

III. Mimnermi Colophonii.

Olymp. XXXVII, 4.

Suidas: *Μίμνερμος Λιγυρτιάδου, Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός. Γέγονε δὲ ἐπὶ τῆς λζ' Ὀλυμπιάδος, ὡς προτερεύειν τῶν ζ' σοφῶν· τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. Ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης, διὰ τὸ ἐμμελὲς καὶ λιγύ. Ἔγραψε βιβλία ταῦτα πολλά.* (*βιβλία ἐρωτικὰ τὰ πολλὰ* conj. Bernhardy.)

1.

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσέης Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
*ἄνθεα * ἥβης γίγνεται ἁρπαλέα*
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ κακὸν ἄνδρα τιθεῖ,

Fr. 15. Paus. IV, 16, 4. *Ἀριστομένει ὡς ἀνέστρεψεν ἐς τὴν Ἀνδανίαν, ταινίας αἱ γυναῖκες καὶ τὰ ὡραῖα ἐπιβάλλουσαι τῶν ἀνθέων ἐπέλεγον ᾆσμα τὸ καὶ ἐς ἡμᾶς ἔτι ᾀδόμενον· Ἔς τε κτλ.*

III. Mimnermi Colophonii. Fr. 1. Stobaeus Floril. LXIII, 16. Versus 1. 2. respicit Horatius Epp. I, 6, 65 sq. *Si, Mimnermus uti censet, sine amore jocisque. Nil est jucundum, vivas in amore jocisque.* 2. Hermannus Viger. 920. 4. *ἄνθεα εἰ ἥβης* edd. vett.; *εἰ ἥβης ἄνθεα* A: *τῆς ἥβης* Grotius: *ἄνθε', ἃ τῆλ' ἥβης* Franck. Callin. 130. An *εὐανθὴς ἥβη γ. ἁρπαλέα* vel *ἁρπαλέη*? Pind. Isthm. VI, 34. *εὐανθέ' ἁλικίαν*. 5. *ἐπεί τ'* AB: *ἐπεὶ δ'* vulgo, v. Hermann. Viger. 929. Brunckius *ἐπὴν δ'*. 6. *ὁμῶς καὶ καλὸν* vulgo: *ὁμῶς καὶ κακὸν* Hermannus, v. fr. 5, 3. 7.: *ὅμως καὶ καλὸν* Doederlein. in Soph. O. C. 662.

αἰεὶ μὲν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι
  οὐδ᾽ αὐγὰς προσορῶν τέρπεται ἠελίου·
ἀλλ᾽ ἐχθρὸς μὲν παισὶν, ἀτίμαστος δὲ γυναιξίν·
  οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

2.

Ἡμεῖς δ᾽ οἷά τε φύλλα φύει πολυανθέος ὥρη
  ἔαρος, ὅτ᾽ ἄψ αὐγῇς αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
  τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ᾽ ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι,
  ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ᾽ ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
  καρπός, ὅσον τ᾽ ἐπὶ γῆν κίδναται ἠέλιος·
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
  αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος·
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
  τρυχοῦται, πενίης δ᾽ ἔργ᾽ ὀδυνηρὰ πέλει·
ἄλλος δ᾽ αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
  ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἔστιν
  ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3.

Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
  οὐδὲ πατὴρ παισὶν τίμιος οὔτε φίλοις.

Fr. 2. Stobaeus Floril. XCVIII, 13. Vers. 1. Homeri Il. Z, 146 sqq. Simonid. Eleg. fr. LX. πολυανθέος A. Vulgo πολυάνθεμος. 2. αἶψ᾽ libri: ἄψ Brunckius. Ibidem αὐγὴ libri: correxi. 9. ἐπεὶ Brunckius. 11. ἄλλοτε οἶκος A: vulgo ἄλλοτέ τ᾽ οἶκος: Grotius et Brunckius ἄλλοτε δ᾽ οἶκος. 16. διδοῖ B: reliqui διδῷ.

Fr. 3. Stobaeus Floril. CXV, 1. 1. Brunckius ἐπήν. 2. φίλοις Voss. Reliqui φίλος.

4.

Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον ὁ Ζεὺς
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

5.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρὼς,
πτοιοῦμαι δ' ἐςορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλὸν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

6.

Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

7.

Μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς
μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τήν σ' αὐτοῦ φρένα τέρπε, δυςηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Fr. 4. Stobaeus Floril. CXVI, 33. *Μιμνέρμου Ναννοῦς.* De Nannone *αὐλητρίδι* poetae amoribus vide Hermesianact. Ath. XIII, 597, F. 1. *σχεῖν* A Voss. Trinc. *ὁ Ζεὺς* om. AB Voss., *ὁ* Trincavellus.

Fr. 5. Stobaeus Floril. CXVI, 34. *Μιμνέρμου Ναννοῦς.* Sed omissis tribus primis versibus, quos ex Theognideis 1017 sqq. supplevit Brunckius. 1. Cfr. Sapphonis fr. 2. 4. Theognidis codex Vatic. *ὀλιγοχρόνιος.*

Fr. 6. Diogenes Laert. I, 60. Cfr. ad Solon. fr. 20.

Fr. 7. Anth. Pal. IX, 50. Planud. I, 89. posterius distichon servatur: alterum ex Theognideis 793 sqq. assutum. Welckero Prolegg. XCIX. Theognidis distichon cum Mimnermeo conflatum videtur. 1. *ξείνων* Mutinensis: vulg. *ξεῖνον.*

8.

Ἀληθίη δὲ παρέστω
σοὶ καὶ ἐμοὶ, πάντων χρῆμα δικαιότατον.

9.

Ἡμεῖς δ' αἰπὺ Πύλον Νηλήϊον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα·
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἑζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες·
κεῖθεν δ' Ἀστήεντος ἀπορνύμενοι ποταμοῖο
θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.

10.

Οὐδέ κοτ' ἂν μέγα κῶας ἀνήγαγεν αὐτὸς Ἰήσων
ἐξ Αἴης τελέσας ἀλγινόεσσαν ὁδόν,
ὑβριστῇ Πελίῃ τελέων χαλεπηρὲς ἄεθλον,
οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον.

Fr. 8. Stobaeus Floril. XI, 1. *Μιμνέρμου Ναννοῦς.* Theognid. 1227 sq.

Fr. 9. Strabo XIV, 634. *Ἀπελθόντες παρὰ τῶν Ἐφεσίων οἱ Σμυρναῖοι στρατεύουσιν ἐπὶ τὸν τόπον ἐν ᾧ νῦν ἐστὶν ἡ Σμύρνα, Λελέγων κατεχόντων· ἐκβαλόντες δ' αὐτοὺς ἔκτισαν τὴν παλαιὰν Σμύρναν. Ὕστερον δὲ ὑπὸ Αἰολέων ἐκπεσόντες κατέφυγον εἰς Κολοφῶνα καὶ μετὰ τῶν ἐνθένδε ἐπιόντες τὴν σφετέραν ἀπέλαβον· καθάπερ καὶ Μίμνερμος ἐν τῇ Ναννοῖ φράζει μνησθεὶς τῆς Σμύρνης ὅτι περιμάχητος ἀεί· Ἡμεῖς κτλ.* Cfr. Muelleri Dorr. I, 98. 3. Libri *ἐς δ' ἄρα τήν.* Correxit Wyttenbachius. 5. Paus. VII, 5, 1. Herod. I, 150. *Ἀλήεντος* Brunckius et Tzschuckius: libri corrupte. Vide Paus. VIII, 28, 2. Tzetzes Lycophr. 868. 6. *εἴδομεν* libri. Correxit Brunckius.

Fr. 10. Strabo I, 46 sq. *Μίμνερμος ἐν τῷ Ὠκεανῷ ποιήσας τὴν οἴκησιν τοῦ Αἰήτου πρὸς ταῖς ἀνατολαῖς ἐκτὸς πεμφθῆναί φησιν ὑπὸ τοῦ Πελίου τὸν Ἰάσονα καὶ κομίσαι τὸ δέρας· — Οὐδὲ κτλ.* 1. Libri *οὐδ' ὁκόταν*: correxit Porsonus Adversar. 311. Hermannus Viger. 924 sq. *μέγα κῶας* Brunckius. Libri *μετὰ κῶας.* 3. *χαλεπηρὲς* Coraës. Libri *χαλεπῆρες.* 4. Casaubonus *εὖτ' ἄν.*

11.

Αἰήταο πόλιν, τόθι τ' ὠκέος ἠελίοιο
ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ
Ὠκεανοῦ παρὰ χείλεσ', ἵν' ᾤχετο θεῖος Ἰήσων.

12.

Οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμὸν
τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον
Λυδῶν ἱππομάχων πυκινὰς κλονέοντα φάλαγγας
Ἕρμιον ἀμπεδίον, φῶτα φερεμμελίην·
τοῦ μὲν ἄρ' οὔποτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη
δριμὺ μένος κραδίης, εὖθ' ὅγ' ἀνὰ προμάχους
σεύαιθ', αἱματόεντος ἐν ὑσμίνῃ πολέμοιο
πικρὰ βιαζόμενος δυσμενέων βέλεα·
οὐ γάρ τις κείνου δηΐων ἔτ' ἀμεινότερος φὼς
ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς
ἔργον, ὅτ' αὐγαῖσιν φέρετ' ὠκέος ἠελίοιο.

13.

Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα
οὐδέ ποτ' ἄμπαυσις γίγνεται οὐδεμίη

Fr. 11. Strabo l. c. Καὶ ὑποβάς· *Αἰήταο* κτλ.

Fr. 12. Stobaeus Floril. VII, 12. Dixisse statuunt poetam de Andraemone Pylio, a quo Colophonem conditam dixerat *Μίμνερμος ἐν τῇ Ναννοῖ*, Strabo l. c. Cfr. Welckeri Cycl. Epic. 187. 6. A εὖθ' ὅτ' ἀνὰ προμάχους σεύηθ' αἱμα-
οι
τόεν ὑσμίνη πολέμιον (sic). Brunckius: ἔσθ' ὅτ' ἀνὰ πρ. σεύετο, αἱμ. ἐν ὑ. π. π. βιαζόμενος. Gaisfordus: σεῦ ἠδ' αἱματόεντος ἐν ὑ. π. π. βιαζομένου. Schowius: ὁππότ' ἀνὰ πρ. σεύεθ', ὁ δ' αἱμ. et β αζόμενος. Et βιαζόμενος Schowii codices. Hinc conformavi. 9. ἀμεινότερος. Vide Buttm. Gr. Max. I, 280. 11. Fort. ὀξέος, cll. 11, 1.

Fr. 13. Athen. XI, p. 470, A. *Μίμνερμος* δ' ἐν *Ναννοῖ* ἐν εὐνῇ φησι χρυσῇ κατεσκευασμένῃ πρὸς τὴν χρείαν ταύτην ὑπὸ Ἡφαίστου τὸν Ἥλιον καθεύδοντα περαιοῦσθαι πρὸς τὰς ἀνατολὰς αἰνισσόμενος τὸ κοῖλον τοῦ ποτηρίου· λέγει δ' οὕτως· *Ἠέλιος* κτλ. De Solis poculo vel εὐνῇ κοίλῃ cfr Stesich. fr. X. Klein., Mueller. Dorr. I, 425 sqq., Nitzsch. Hom. Odyss. III, 1. Hermann. Opuscc. III, 137 sq.

ἵπποισίν τε καὶ αὐτῷ, ἐπεὶ ῥοδοδάκτυλος Ἠὼς
Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ·
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνὴ
κοίλη, Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ,
εὕδονθ' ἁρπαλέως, χώρου ἀφ' Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα οἱ θοὸν ἅρμα καὶ ἵπποι
ἑστᾶσ', ὄφρ' Ἠὼς ἠριγένεια μόλῃ·
ἔνθ' ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

IV. Solonis Atheniensis.

Olymp. XLVI.

Suidas: *Σόλων Ἐξηκεστίδου, Ἀθηναῖος, φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. Γέγονε δὲ ἐπὶ τῆς μζ' Ὀλυμπιάδος, οἱ δὲ νς'. Ἐπιβουλευθεὶς δὲ ὑπὸ Πεισιστράτου τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν ἣν Σόλους ἐκάλεσεν ἐξ ἑαυτοῦ· οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασὶ καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. Ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες Ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι, ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δι' ἐλεγείας καὶ ἄλλα. Ἔστι δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων Σοφῶν καὶ φέρεται αὐτοῦ τὸ ἀπόφθεγμα τόδε· Μηδὲν ἄγαν, ἢ τὸ· Γνῶθι σαυτόν.*

I. *Σαλαμίς.*

1.

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,

---

3. *ἐπὴν* Casaubonus, v. ad fr. I, 5. 5. *κύλη* Eustathius p. 1632, 28. *Μίμνερμος, φασὶ, τὸ τοῦ ἡλίου καλούμενον ποτήριον εὐνὴν κύλην εἶπεν Ἡφαίστου χερσὶν ἐληλαμένην.* Qui merus lapsus est. 7. *ὑπόπτερος* Heynius Apollod. 394. Libri *ὑπόπτερον.* 11. *ἑτερέων* BP: *σφετέρων* Bergkius. *Ἑτέρων ὀ. ἐπέβη* explicat Welckerus Syllog. Epigrr. 11. *iterum conscendit.* Nos: *ibi conscendit alterum currum suum*, relicta illa *εὐνῇ*, cfr. v. 9.

κόσμον ἐπέων ᾠδὴν ἀντ᾽ ἀγορῆς θέμενος.

* * *

Εἴην δὴ τότ᾽ ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
ἀντί γ᾽ Ἀθηναίου, πατρίδ᾽ ἀμειψάμενος·
αἶψα γὰρ ἂν φάτις ἥδε μετ᾽ ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμιναφετῶν.

* * *

Ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς χαλεπόν τ᾽ αἶσχος ἀπωσόμενοι.

II. Τὰ περὶ τῆς Ἀθηναίων πολιτείας.

2.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ᾽ ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν

Solonis I. fr. 1. Plutarchus Solon. I. *Ἐλεγεῖα κρύφα συνθεὶς καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος. Ὄχλου δὲ πολλοῦ συνδραμόντος ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστὶν ἀρχή· Αὐτὸς κτλ. Τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται καὶ στίχων ἑκατόν ἐστι χαριέντως πάνυ πεποιημένων.* Vide Diog. Laert. I, 46. Demosth. *περὶ παραπρεσβ.* 201. Rsk. 2—8. servavit Diogenes Laertius. 6. Libri *τῶν Σαλαμῖν᾽ ἀφέτων, ἀφέντων.* Emendarunt Is. Vossius, Imm. Bekkerus, God. Hermannus Viger. 927. *Acerbe Σαλαμιναφέτας vocat, qui eam insulam hostibus permissuri essent.* Bernhardy Synt. 114. *τῶν Σαλαμῖν᾽ ἀφετῶν*; sed v. Lobeck. Paralipp. II, 428. Schaeferus *τῶν Σαλαμινοφύγων.* Ultimum distichon affert Ulpianus Demosth. de Fals. Leg. 152. Dobson. ubi est *χαλεπὸν αἶσχος ἀπωσάμενοι: ἀπωσάμενοι* affertur ex Scholl. Augustanis 318. ibidem. Et *χαλεπόν τ᾽ αἶσχος ἀπωσάμενοι* Arsen. Viol. 304.

II. Fr. 2. Demosthenes de Fals. Leg. 421. Rsk. *Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν᾽ ἴδηθ᾽ ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἷος οὗτος ἀνθρώπους.* 4. Aristoph. Eqq. 1168 sqq.

ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ·
* * *
πλουτεῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι
* * *
οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα·
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
Τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην·
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν

Post v. 10. inserunt versum: χρήματα δ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι, pessime: v. fr. XI, 7. Sylburgius ingeniose interponit fr. 6. 16. ἀποτισομένη Marklandus et ex correctione codex Bavaricus, cfr. XI, 76. Vulgo ἀποτισαμένη. 19. ἣ libri et Bekkerus: ἢ vulgo. 21 sq. »*Rectam rationem tenere si voluisset, dicendum fuerat* τ ῶ ν ἀ δ ι κ ο ύ ν τ ω ν τ ο ὺ ς φ ί λ ο υ ς ἐ ν τ α ῖ ς σ υ ν ό δ ο ι ς; *qui genitivus cohaereret cum* ἐ κ δ υ σ μ ε ν έ ω ν. *Jam vero dixit* τ ο ῖ ς ἀ δ ι κ ο ῦ σ ι, *qui dativus tantumdem valet atque* ὑπὸ τῶν ἀδικούντων. *Injurias multifarias dare cives civibus in familiaribus congressibus possunt, inprimis vero rixas, verberationes, caedes, quae sunt injuriarum atrocissimae.*« Reiskius. Complures libri φίλοις. Schaeferus: »Ἐν συνόδοις verto *in conflictu:* τοῖς ἀδικοῦσι autem est dativus quem dicas incommodi.« 23. Confer fr. XXVII, 6 sqq. Plut. Sol. XIII. Ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. Ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες ἑκτημόριοι προσαγορευόμενοι καὶ θῆτες, ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν ἀγώγιμοι τοῖς δανείζουσιν ἦσαν, οἱ μὲν αὐτοῦ δουλεύσοντες, οἱ δ' ἐ π ὶ τ ῇ ξ έ ν ῃ π ι π ρ α σ κ ό μ ε ν ο ι, sqq.

ἱκνεῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

* * *

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως
* *εἴ γέ τις φεύγων ἐν μυχῷ, ἐν θαλάμῳ.*
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυςνομία παρέχει,
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἐστὶ δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

3.

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.

---

27. »Jungenda *ἔτ' οὐκ*, i. q. *οὐκέτι*. Vide ad Soph. Trach. 161.« Schaefer. Idem Schaeferus: »*Οὐκ ἐθέλουσι*. Vide not. ad Greg. Cor. 135 sq. Dictum est *προςωποποιητικῶς* neque exuit nativam significationem.« 29. Sic libri optimi: Bodlejanus codex *εἴ γέ τις ἢ φ.*, alii *εἰ καί τις*, *ἤ γέ τις*, *εἴη γέ τις*, Brunckius *εἴ κέ τις ᾖ*; H. Wolfius *εἴ γέ τις ᾖ φ.* Schaefero *εἰ καί τις φεύγων* non displicet. Paullo ante Bekkeri libri *πάντων*: alii *πάντας*.

Fr. 3. Plutarchus Sol. XVIII. *Ἐπισημαίνεται αὐτὸς αὑτῷ τὴν ἐξίσωσιν οὕτως· Δήμῳ κτλ.* 1. *ἐπαρκεῖν* Brunckius: *ἀπαρκεῖ* Coraës. Schaeferus: »Vulgatum magis placet. Verte: *quantum ei auxilietur* (contra divitum injurias.)« Immo *ἐπαρκεῖ* i. q. *ἀπαρκεῖ*. 2. *Ἐπορεξάμενος* H. Stephanus Thes. s. v. explicat: »nec etiam tribuens praeter eum quem habebat, insuper dans porrecta manu.« 4. *Καὶ τούτων προὐνόησα, ἵνα μηδὲν ἀπρεπὲς ἢ ἄδικον ἔχωσι.* Coraës.

ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

4.

Ὧδ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος.

5.

Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

6.

Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.

7.

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·

Fr. 4. Plutarchus Comp. Sol. et Poplic. II. *Καὶ τοῦτο δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων, ὅτι δῆμος Ὧδ' ἂν ἄριστα κτλ.* Hinc fortasse scribendum: *Δῆμος δ' ὧδ' ἂν ἄρ.*

Fr. 5. Plutarchus Solon. XXV. Dictum in eos quibus leges a Solone latae displicerent.

Fr. 6. Clemens Alex. Stromm. VI, 740. Potter. Confer Theognid. 153. Oraculum Herod. VIII, 77. Pindar. Olymp. XIII, 12.; Diog. L. I, 59. ex dicto Solonis refert *τὸν μὲν κόρον τοῦ πλούτου γεννᾶσθαι, τὴν δ' ὕβριν ὑπὸ τοῦ κόρου.*

Fr. 7. Diodorus Sic. Excc. Vatic. p. 23. Dindorf. *Λέγεται Σόλων καὶ προειπεῖν τοῖς Ἀθηναίοις τὴν ἐσομένην τυραννίδα δι' ἐλεγείων· Ἐκ κτλ.* Versus 1—4. affert Diog. L. I, 50., distichon alterum Diod. Sic. XIX, 1., primum Plutarchus Sol. III. Versu 1. Diogenes *φέρεται.* 2. *λαμπρῆς* Diogenes, v. Exercitatt. Critt. post Eustath. p. 41 sq. Post primum distichon vulgo infarciunt haec:

Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

Habet haec unus Plutarchus l. c. *Ἐν δὲ τοῖς φυσικοῖς ἁπλοῦς ἐστι λίαν καὶ ἀρχαῖος, ὡς δῆλον ἐκ τούτων· Ἐκ νεφέλης — ἀστεροπῆς· Ἐξ ἀνέμων κτλ.* Ex hujus elegiae tenore ea verba eliminanda esse evicimus in Exx. Critt. p. 42. Solon in alia elegia more poetarum videtur populum cum mari comparavisse,

ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσεν·
Λίην δ' ἐξάραντ' οὐ ῥάδιόν ἐστι κατασχεῖν
*ὕστερον, ἀλλ' ἤδη χρὴ * πάντα νοεῖν.*

8.

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

---

cfr. Cicero pro Cluentio 49. *Ex quo intelligi potuit id, quod saepe dictum est: ut mare, quod natura sua tranquillum sit, ventorum vi agitari atque turbari, sic populum Romanum sua sponte esse placatum: hominum seditiosorum vocibus, ut violentissimis tempestatibus concitari.* *Δικαιοτάτη* compara cum Theogn. 314. Scribendum autem *πάντως*. 3. *εἰς δὲ τυράννου* Diodorus XIX, 1. Hesychius: *μονάρχου· τυράννου.* 4. *ἀϊδρίῃ* Diodorus XIX, 1. *ἀϊδρείῃ* in Excerptt. Vat. et in edd. vett. Diogenis, ubi alii *ἄϊδρις ἐών.* 5. 6. haec Diodoro debemus Vaticano: codex *Λείης δ' ἔξεραντα ῥαΐδιόν ἐστι κατασχεῖν.* Dindorfius *οὐ ῥήδιον*, v. Doederlein. in Niebuhrii Mus. Rhenan. III, 1. p. 13. Passovius apud Bach. ad Hermesian. 261 sq.: *Λείης δ' ἐξάραντα τὸ ῥάδιον ἔστι κατασχεῖν;* Pflugkius: *Δουλείης δ' ἔξαντ' οὐ ῥήδιόν ἐστιν ἀνασχεῖν* vel *Δουλείῃ δ' εἴξαντ' οὐ ῥ.*, vel *Βουλὴ δ' ἥδ' ἐξ ἀνδρὸς ἀΐδριός ἐστι κατασχεῖν.* Suscepi meam emendationem, de qua exposui Exx. Critt. p. 43., nisi quod ibi *ἐξαρθέντ'* audacius conjectavi. Scripsi *ἐξάραντ'*, h. e.: *Ubi autem nimis se extulerit, non facile est deprimere postea, sed jam omnia circumspectare decet.* Confer Plutarchum Solone XXX. *Σόλων τὸ μνημονευόμενον εἶπεν, ὡς πρώην μὲν ἦν εὐμαρέστερον αὐτοῖς τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην, νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν.* Diodorus: *Σόλων παρελθὼν εἰς ἐκκλησίαν παρεκάλει τοὺς Ἀθηναίους καταλύειν τὸν τύραννον, πρὶν τελέως ἰσχυρὸν γενέσθαι.* 6. *χρὴ τάδε πάντα νοεῖν* Passovius: *χρὴ περὶ πάντα νοεῖν* Dindorfius. Est qui malit *χρὴ ἕνα πάντα νοεῖν.*

Fr. 8. Diog. L. I, 49. *Σόλων ἤξας εἴς τινα ἐκκλησίαν μετὰ θώρακος καὶ ἀσπίδος, προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου, — λέγων ταῦτα· Ἄνδρες Ἀθηναῖοι, τῶν μὲν σοφώτερος, τῶν δὲ ἀνδρειότερος εἰμί· σοφώτερος μὲν τῶν τὴν ἀπάτην Πεισιστράτου μὴ συνιέντων· ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μέν, διὰ δέος δὲ σιωπώντων. Καὶ ἡ βουλή, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί· Δείξει κτλ.*

9.

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύσια δόντες
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε·
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.

III. *Πρὸς Φιλόκυπρον.*

10.

Νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων

Fr. 9. Diog. L. I, 52. *Ὅτε τὸν Πεισίστρατον ἔμαθεν ἤδη τυραννεῖν, τάδε ἔγραψε πρὸς τοὺς Ἀθηναίους· Εἰ δὲ* sqq. Diodorus Excc. Vaticc. p. 24. Dindorf. *Καὶ μετὰ ταῦτα τυραννοῦντος ἔφη· Εἰ δὲ κτλ.* Adde Plutarch. Sol. XXX. Clemens Alex. Stromm. I, 328. Potter. 1. *δεινὰ* Diogenes. 2. *μὴ θεοῖσι ταύτην* Diodorus: *μῆνιν ἐπαμφ.* Plutarchus ante Coraën: »*Ὁ δὲ νοῦς· Μὴ τῶν κακῶν, ἃ πάσχετε διὰ τὴν ὑμετέραν ἀνανδρίαν, μέρος ἐπαναφέρετε εἰς τοὺς θεούς.*« 3. *ηὐξήσατ' ἐρύματα δ.* Plutarchus et Diodorus. Coraës: *Δόντες αὐτοῖς ἐνέχυρα, τουτέστιν, οἷον ἐνεχυράσαντες τὴν ἐλευθερίαν ὑμῶν διὰ τῶν δεδομένων τῷ Πεισιστράτῳ κορυνηφόρων.* Vide Plut. Sol. XXX. Cic. Rep. I, 44. 4. *διὰ τοῦτο* Diodorus. *ἔσχετε* libri omnes, h. e. *accepistis*; *εἴχετε* Nicetas Choniates de rebus post capt. Constantinop. 375., *ἔσχετε* Bryanus. 5. Diogenes praeponit 7. 8. — *εἰς ἔπη αἱμύλου ἀνδρός* Plut. Clem.; *εἰς ἔπος αἰόλον ἀ.* rell. Plutarchus Sol. XXIX. *Αἱμύλον τι καὶ προςφιλὲς εἶχε* (Pisistratus) *ἐν τῷ διαλέγεσθαι.* 7. Cratinus *Νόμοις* apud Suidam s. v. *Ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται.* Dicit Solon: *Singuli sapitis, cuncti desipitis. Ἀλώπεκος ἴχνεσι βαίνει vulpinatur.* 8. *κοῦφος ἔ. ν.* Diogenes et Diodorus.

III. Fr. 10. Plutarchus Sol. XXVI. Vita Arati II, 430. Buhle. *Μέμνηται τῶν ἐν Κύπρῳ Σολίων Σόλων ἐν ταῖς ἐλεγείαις ταῖς πρὸς Κυπράνορα τὸν βασιλέα, ὃς συμβουλευθεὶς ὑπὸ Σόλωνος κτίσαι τὴν πόλιν χάριν τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν, ἀμοιβὴν ταύτην νέμων τῆς συμβου-*

τήν * πόλιν ναίοις καὶ γένος ὑμέτερον·
αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

IV. Ὑποθῆκαι εἰς αὐτόν.

11.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν·
ὃν δ' ἄνδρες τιμῶσιν, ὑφ' ὕβριος οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτη·
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
Ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ

λῆς αὐτῷ. Herod. V, 113. Φιλόκυπρον Σόλων Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον, ἐν ἔπεσι αἴνεσε τυράννων μάλιστα. 2. τὴν πόλιν ναίοις Plutarchus: τήν τε πόλιν ν. Stephanus, τὴν πόλιν εὖ ναίοις Reiskius; τήνδε πόλιν ν. Vita Arati. Ὑμέτερον Schaeferus explicat σόν. Minus accurate.

IV. Fr. 11. Stobaeus Floril. IX, 25. Vide Parodiam Cratetis in Juliani Oratt. VI, 199. VII, 213. 3. ὄλβον ἐμοί Brunckius. 7. Vide Plutarchum Sol. II. Sententiae similes apud Hesiodum Opp, 322 sqq., Theognid. 197 sqq. 9. Nonnulli codd. πλοῦτος. 13. οὐκ ἐθέλων h. e. *licet obnitatur et reluctetur.* Fors. κοὐκ ἐθέλων. ἀναμίσγεται ἄτη Trincavellus: ante Brunckium ἄτῃ. Intellige τῷ πλούτῳ.

ὥστ᾽ ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δῃώσας καλὰ ἔργα, θεῶν ἕδος, αἰπὺν ἱκάνει
οὐρανὸν, αἰθρίην δ᾽ αὖθις ἔθηκεν ἰδεῖν·
λάμπει δ᾽ ἠελίοιο μένος κατ᾽ ἀπείρονα γαῖαν
καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ᾽ ἐστὶν ἰδεῖν· —
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ᾽ ἐφ᾽ ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνὴρ, γίγνεται ὀξύχολος·
αἰεὶ δ᾽ οὔ τι λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ᾽ ἐς τέλος ἐξεφάνη.
ἀλλ᾽ ὁ μὲν αὐτίκ᾽ ἔτισεν, ὁ δ᾽ ὕστερον· εἰ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ᾽ ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖτις· ἀναίτια ἔργα τίνουσιν
*ἢ παῖδες τούτων * ἡγεμόνων ὀπίσω.*
Θνητοὶ δ᾽ ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε·
δεινὴν εἷς αὑτοῦ δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ᾽ αὖ τις ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα·
χὤστις μὲν νούσοισιν ὑπ᾽ ἀργαλέῃσι πιέσθῃ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·

---

23. Vulgo *πίονα*: *ἀπείρονα* B m. sec. Omittunt Voss. Arsen. 27. *αἰεὶ δ᾽ οὔ τι λέληθε* duo codd. Schowii, Gaisfordii B m. sec. Vulgo *αἰεὶ οὔτε*; Wyttenbachius *ἀλλὰ ἓ οὔτε λέληθε*. 29. *ἢν δὲ* codd. Schowii: Trinc. *οἱ δέ*. 31. Sic distinguendum docuit Ed. Gerhard. Lectt. Apoll. 214. *αὖτις* Brunckius: libri *αὐτίκ᾽*. Ibidem *ἀναίτια* librorum scripturam revocavi: vulgo *ἀναίτιοι*. 32. Libri *ἡγεμόνων ὀπίσω*: vulgo ex emendatione Piersoni Verisimm. 186. *ἢ γένος ἐξοπίσω*, quod habet B m. sec. Wyttenbachius *ἢ ᾽πογόνων ὀπίσω*: Schneiderus ad Xenoph. Agesil. I, 2. ex scriptura codicis A apud Grotium, quae est *προγόνων ὀπίσω*, efficit *ἢ προγόνων ὀπίσω*. *Προγόνους* interdum dici *posteros*. 34. Vulgo ex H. Stephani emendatione *ἐσθλὴν δ᾽ εἷς αὑτοῦ*. Trincavellus *ἐνδὴν ἣν αὐτός*; H. Stephanus in Corp. Poett. Graecc. *ἐσθλὴν ἣν αὐτός*; *ἐνδὴν εἷς αὐτὸς* Schowii codd. AC; *ἐκδὴν ἣν αὐτὸς* codex E.; Grotius *ἐσθλὴν δ᾽ εἶν αὑτῷ*; *δεινὴν εἷς αὑτοῦ* B m. sec.; Valckenarius *ἥνδανεν ἣν αὐτός*. Ego cod. B correctionem retinui subdubitanter. 35. Legebatur *αὖτις*. Libri aliquot *αὖθις*. 37. Ante Brunckium *πιεσθῇ*.

ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ
καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων·
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
*κτήσασθαι πάντως χρήματα πολλὰ * δοκεῖ.*
Σπεύδει δ᾽ ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρήζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ᾽, ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσιν καμπύλ᾽ ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον·
*ἄλλος Ὀλυμπιάδων Μουσέων * πάρα δῶρα διδαχθεὶς*
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ᾽ ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ᾽ ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ᾽ ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὔκ ἄν τις λύσαιτ᾽ ἤπια φάρμακα δούς,
τὸν δὲ κακαῖς νούσοισι κακούμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ᾽ ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν·
δῶρα δ᾽ ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
Πᾶσι δέ τοι κίνδυνος ἐπ᾽ ἔργμασιν οὐδέ τις οἶδε

---

40. Codd. tres Schowii *καὶ κάλλος*. 42. *πάντως* Gesnerus: libri *πάντων*. Ibidem *πλεῖστα* codd. duo Schowii, sed in altero suprascr. *πολλά*. Ibidem libri *δοκεῖ* perinepte, puto. Desidero *ποθεῖ, νοεῖ*. Vide sequentia. 51. *διδάχθη* Grotius, Brunckius. Pro *πάρα* voce *ἄρα* rescripserim. Vix recte dicas *διδαχθῆναι δῶρα παρὰ Μουσῶν*. 55. *συνομαρτήσασι* Voss., *συνομαρτήσουσι* Brunckius. 57. Salmasius, Grotius, Brunckius *οὐθ᾽ οἱ Παιῶνος*. De Paeone vide Muelleri Dorr. I, 297. 61. *κακούμενον* Lobeckius Ajac. p. 218. Libri *κυκώμενον*. De magnetismo animali admonet Brunckius. 65—70. exstant in Theognideis 585 sqq.

ἢ μέλλει σχήσειν πρήγματος ἀρχομένου,
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα τίθησι
συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης·
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν * ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τισομένην, ἄλλοτε ἄλλος ἔχει.

12.

Ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός.

---

66. Theognis ποῖ σχήσειν μέλλει; apud Stobaeum Voss. et Gesneri margo τι μέλλει σχ. Confer Arist. Rann. 188. Ibidem χρήματος vulgo: ego πρήγματος dedi ex Theognide. 67. εὖ ἔρδειν. Theognis εὐδοκιμεῖν. προνοήσας Theognis et Voss. Arsen. B m. sec. Reliqui προορήσας. 69. καλῶς ἔρδοντι vulgo: κακῶς Gesnerus in Marg. et duo codd. Schowii, in quorum tamen altero καλῶς suprascriptum. Opponitur ὁ εὖ ἔρδειν πειρώμενος τῷ καλῶς ἔρδοντι. δίδωσι Stobaeus: τίθησιν Theognis. 71 sqq. exstant in Theognideis 227 sqq. pluribus locis mutati. Πεφασμένον i. e. φανερόν, Lysias in Theomnest. 117. ex lege Solonis. 73. διπλασίως Stobaeus. Doederlinus Lectt. Varr. Hebdom. Erlangae 1836. edita Cap. I. proponit κορέσειεν ἁπάντως vel κορέσει' ἕνα πάντως; Mihi ἅπαντα scribendum videtur, h. e. *plane*. 76. Vulgo ἄλλοτέ τ' ἄλλος ἔχει: ἄλλοτ' ἂν ἄλλος ἔχοι Schowii codex unus, plures ἔχοι; Brunckius ἄλλοτέ κ' ἄλλος. Recepi Theognidis scripturam: Doederlinus ἄλλο τότ' ἄλλος ἔχει. Recte Schaeferus: »Solennis formula, in qua, ut in aliis, hiatus Graecorum auribus videtur placuisse.« Exempla apud Lobeck. Parall. I, 56 sq.; aliter olim judicabat Hermannus Orph. 732. Locum sic intellige: Ex habendi cupidine nascitur ἄτη: quam (Ἄτην) quum miserit Jupiter, alius alio tempore habet ἄτην. More Graecorum poetarum personam mythicam cum re ipsa miscet; v. Intpp. Plat. Symp. 178, B. 196, D. Sententiam similem habes v. 25 sqq. Archiloch. I, 7. Gaisf. ἄλλοτε δ' ἄλλος ἔχει τόδε, int. κακόν.

Fr. 12. Plato Lyside 212, E. Ψεύδεθ' ὁ ποιητὴς ὃς ἔφη·

13.

Οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

14.

Ἶσόν τοι πλουτεῦσιν ὅτῳ πολὺς ἄργυρός ἐστι
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικὸς, ἐπήν κεν ταῦτ' ἀφίκηται,
ἥβη· σὺν δ' ὥρῃ γίγνεται ἁρμοδία·

Ὄλβιος κτλ. Soloni tribuit Hermias in Phaedr. 78. Ast. *Καὶ ἐν τοῖς ποιήμασιν ὡς καλοῦ τοῦ ἐρᾶν μνημονεύει* (Solon) *λέγων· Ὄλβιοι ὦ* (sic codex Hermiae). Legitur distichon in Theognideis 1253., ubi est *θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.* Ceterum quod Solonis nomen reticuit Plato, jocatur. Nam lepide in ipsum torta sunt quae *ἐν Ἐλεγείαις* dixerat Solon: *Πολλὰ ψεύδονται ἀοιδοί*, v. Scholl. Plat. 465. Bekker. Et hinc *αι* in v. *ψεύδεθ'* contra pedestris orationis consuetudinem elisum: quo de secus statuit Buttmannus Gr. Max. II, 393.

Fr. 13. Stobaeus Floril. XCVIII, 24. Libri *μάκαρ*, v. Welcker. Alcman. p. 68. De sententia v. Homeri Il. *P*, 446. Theogn. 167. Ceterum vulgo *πόνηροι*; v. Trypho Ammonii s. v.

Fr. 14. Plutarchus Solon. II. *Πλοῦτον δ' οὐκ ἐθαύμαζεν, ἀλλὰ καί φησιν ὁμοίως πλουτεῖν, ὅτῳ κτλ.* Exstant inter Theognidea 719 sqq. et hinc Stobaeus Floril. XCVII, 7. Vide Hermann. Viger. 924. 3. *μόνα ταῦτα* Plutarchus: *τὰ δέοντα* Theognis. 4. *πλευρῇ* vulgo apud Plutarchum. Sententiam mutuatus est Horatius Epp. I, 12, 5. 5. Grotius, Brunckius *παῖδές τ' ἠδὲ γυναῖκες.* Librorum scripturam retinens Hermannus interpunctione post v. *παθεῖν* sublata explicat: *si puero vel muliere frui liceat.* Et *παιδός τ' ἠδὲ γυναικὸς* jam Sylburgius ad v. *παθεῖν* rettulit, Welckerus a v. *πλευραῖς* suspendit. Ibidem *ἐπὴν καὶ ταῦτ' ἀφίκηται* Plutarchus: *ὅταν κεν τῶν ἀφίκηται* Theognis, ubi vulgo *ὅταν δέ κε τῶν*; Stobaeus *ὅταν δέ κε τῶνδ' ἀφίκηται*, ubi B *ἐφίκηται*: *ἐπήν κεν* Hermannus de *ἂν* part. 190. 6. *ἥβη· σὺν δ' ὥρῃ γίγνεται ἁρμοδία.* Sic Plutarchus, nisi quod *σὺν δ' ὥρῃ γίγνεται ἁρμονία* vulgo; codex Venetus Walzii *ἥβης*; Schaeferus *σὺν δ' ὥρῃ γίγνεται ἁρμοδία*; Hermannus *σὺν δ' ἥβῃ γίγνεται ἁρμόδια*; *σὺν δ' ἥβῃ γίγνεται*

ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω·
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

15.

Πολλοὶ γὰρ πλουτεῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

16.

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

17.

Πάντῃ δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

ἁρμόδιος Theognis vulgo, sed codex Mutinensis *ἁρμοδία*, ut Stobaeus, cujus codd. A B *ἁρμονία*. Nostram scripturam sic explica: *Aeque divites sunt, qui opibus pollent atque ii quibus ea sola sunt, unde ventri volupe fit et, ubi illa quoque veniant* (tecte significat rem minus honestam), *flos puerorum mulierumque, simulque juventus flat idonea.*

Fr. 15. Plutarchus Solone III. *Ὅτι δ' αὐτὸν ἐν τῇ τῶν πενήτων μερίδι μᾶλλον ἢ τῇ τῶν πλουσίων ἔταττε, δῆλόν ἐστιν ἐκ τούτων· Πολλοὶ γὰρ κτλ.* Sunt inter Theognidea 315 sqq Confer Plutarch. Morall. II, 78, C. 92, E. 472, D. 1. *Πολλοί τοι* Theognis. 2. *τούτοις* Theognis. 3. *τὸ μέν· ἀρετή.*

Fr. 16. Clemens Alex. Stromm. V, 694. Potter. *Σοφώτατα γέγραπται τῷ Σόλωνι ταῦτα περὶ θεοῦ· Γνωμοσ. κτλ.* Cfr. fr. 17.

Fr. 17. Clemens Alex. Stromm. V, 727. Potter. *Ἡσίοδος· Μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων, Ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο. Εἰκότως ἄρα Σόλων ὁ Ἀθηναῖος ἐν ταῖς ἐλεγείαις καὶ αὐτὸς κατακολουθήσας Ἡσιόδῳ· Πάντῃ κτλ.*

18.

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

19.

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

V. Πρὸς Μίμνερμον.

20.

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο
μηδὲ μέγαιρ' ὅτι σεῦ λῷον ἐπεφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
Ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.

21.

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

Fr. 18. Plutarchus Solone XXXI. Moral. II, 155, F. 751, E. Hermias in Phaedr. 78. Ast. Senex haec scripsit. Hermias Ἔ. τὰ Κυπρ.

Fr. 19. Plutarchus Solone XXXI. aliique.

V. Fr. 20. Diogenes Laert. I, 60. Φασὶ δ' αὐτὸν καὶ Μιμνέρμου γράψαντος·
Αἲ γὰρ ἄτερ νουσέων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου,
ἐπιτιμῶντα αὐτῷ εἰπεῖν·
Ἀλλ' εἴ μοι κτλ. 1. Hermann. Viger. 924. 2. Vulgo ὅτι σ' εὖ τοῖον ἐπεφρασάμην. Emendavit Florens Christianus, qui λώϊον ἐφρ. dedit. 3. Λιγυαστάδη Bergkius in Zimmermanni Diar. Philol. 1834, 53. p. 427. Suidas v. Μίμνερμος· Ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης διὰ τὸ ἐμμελὲς καὶ ἡδύ. Libri ἀγυιὰς ταδί, ὄγδοα ἐς ταδί.

Fr. 21. Plutarchus Comp. Solon. et Poplic. I. Τοῖς περὶ Μίμνερμον ἀντειπὼν περὶ χρόνου ζωῆς ἐπιπεφώνηκε· Μηδέ μοι κτλ. Stobaeus Floril. CXXII, 3. Bergkius Mimnermo vindicat in Theognideis 1069. 70.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
κλαίουσ' οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.
Confer Ennium apud Cic. Tuscc. Dispp. I, 49, 117.

VI. Πρὸς Κριτίαν.

22.

Εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν·
  οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

23.

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
  φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
  ἥβης ἐκφαίνει σήματα γιγνομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξεμένων ἐπὶ γυίων
  λαχνοῦται, χροιᾶς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος

VI. Πρὸς Κριτίαν. Fr. 22. Aristoteles Rhet. I, 15. Κλεοφᾶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων· Εἰπεῖν μοι Κριτίᾳ πυῤῥότριχι πατρὸς ἀκούειν. Plato Charmid. 157, E. Ἡ πατρῴα ὑμῖν οἰκία ἡ Κριτίου τοῦ Δρωπίδου καὶ ὑπὸ Ἀνακρέοντος καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ. Integrum distichon sic ut editur affert Scholiasta Platonis 424. Bekker.

Fr. 23. Philo Iudaeus I, 25. Clemens Alex. Stromm. VI, 814. Τὰς τῶν ἡλικιῶν μεταβολὰς κατὰ ἑβδομάδα γίνεσθαί Σόλωνος αἱ ἐλεγεῖαι δηλοῦσιν ὧδέ πως· Παῖς μὲν κτλ., cll. Censorino Die Nat. 14. Ambros. Epp. VI, 39. Suspectarunt hos versus Porsonus in Tracts and miscell. crit. 207. Franckius Callin. 57. Soloni tribuit Valckenarius de Aristobulo Jud. 103. 108. Confer Nitzschium ad Odyss. I, 64. Respicere putatur Aristoteles Polit. VII, 14. Ἡ τῆς διανοίας ἀκμή ἐστιν ἐν τοῖς πλείστοις ἥνπερ τῶν ποιητῶν τινες εἰρήκασιν οἱ μετροῦντες ταῖς ἑβδομάσι τὴν ἡλικίαν, περὶ τὸν χρόνον τὸν τῶν πεντήκοντα ἐτῶν. 1. ἕρκος ὀδόντων aliter Homerus intelligit. 2. ἐκβάλλει. Herod. VI, 107. 3. σπέρματα Clemens: quidam γεινομένης, γειναμένης. 5. »Subaudi ἑβδομάδι, quod latet in praegresso numerali ἑπτά.« Schaeferus. 6. Lucret. V, 886 sq.

ἰσχύν, ἥν τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰςοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν σῶμά τε καὶ δύναμις·
τῇ δεκάτῃ δ' ὅτε δὴ τελέσῃ θεὸς ἔπτ' ἐνιαυτούς,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

VII. Τετράμετροι πρὸς Φῶκον.

24.

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος τε καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδοῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

25.

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
Λοξὸν ὀφθαλμοῖς ὁρῶσιν πάντες ὥστε δήϊον.

---

8. Philo οἵ τ' ἄνδρες. 9. Hesiod. Ἔργ. 693 sqq. 12. Clemens ἐςιδεῖν ἔργα μάταια θέλει. 15. μετριώτερα Clemens. 16. γλῶσσά τε καὶ σοφίη Philo; σώματι καὶ σοφίη Brunckius; σῶμά τε καὶ σοφίη Schaeferus malit. 17. Philo τῇ δεκάτῃ δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο.

VII. Τετράμετροι πρὸς Φῶκον. Fr. 24. Plutarchus Solon. XIV. Πρὸς Φῶκον ἐν τοῖς ποιήμασι γράφων φησί· Εἰ δὲ κτλ. Ὅθεν εὔδηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. 3. μιάνας καὶ καταισχύνας. Vide Dissen. Pind. Nem. III, 16.

Fr. 25. Plutarchus Solon. XVI. Ὅτι δ' οὖν προςέκρουσε τοῖς πλείστοις ἕτερα προςδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς Χαῦνα κτλ. 2. Reiskius δήϊοι.

26.

Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
*περιβαλὼν δ' ἄγραν * ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα*
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ τυραννεύσας Ἀθηνέων μοῦνον ἡμέραν μίαν
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.

27.

Ἃ μὲν ἄελπτα σὺν θεοῖσιν ἤνυσ', ἄλλα δ' οὐ μάτην
ἔρδον.

27, b.

Plutarchus Sol. XV. *Οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα, τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τοὺς νόμους· ἀλλ' ᾗ μὲν ἄριστον* (*ἀρεστὸν* Schaeferus) *ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν φοβηθείς, μὴ*

Fr. 26. Plutarchus Solon. XIV. *Ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως· Οὐκ ἔφυ κτλ. Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας.* 3. *ἀασθεὶς* Lobeckius Ajac. p. 219. *ἀτυσθεὶς* Reiskius; *ἀγρευτὴς* Huetius, Coraës, Schaeferus, qui addit: »*ἀγασθεὶς* vide ne sit interpretandum *φθονηθεὶς, νεμεσηθεὶς, τῇ τοῦ θείου βασκανίᾳ βλαφθείς.*« *ἐπέσπασεν* dedi ex cod. Rodulfi: vulgo *ἀνέσπασεν* ex conjectura Xylandri. Libri *ἔσπασε, ἔπαυσε, ἔχασε.* 4. Libri *ἁμαρτῇ, ἁμαρτεῖ, ἁμαρτῶν, ἀμαρτών.* 5. Alii *ἤθελεν.* 6. Alii *τυραννήσας, τυραννίσας.* 7. *Ἀσκὸς* Musurus. Libri fere *αὐτός*, ut videtur. Vide Arist. Nubb. 442. Winckelmann. Plat. Euthyd. 285, D.

Fr. 27. Ael. Aristides *περὶ τοῦ παραφθέγμ.* II, 397. (536. Dindorf.) *Ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν εἰς αὐτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· Ἃ μὲν κτλ. Καὶ ταῦτα μέν ἐστιν ἐν τετραμέτροις· ἐν δὲ τοῖς ἰάμβοις· Συμμαρτυροίη κτλ.*, v. fr. 28. 1. Vulgo *ἅμα γάρ: ἃ μὲν γὰρ ΓΘ* Junt.; *ἃ μὲν* Gaisford. ad Herodot. Vol. II, 722. v. Matth. Gr. 289, not. 7. *ἄλλα δ' οὐ μάτην* Gaisfordus. Libri *ἅμα δ' οὐ μάτην.*

Συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον.

VIII. Ἴαμβοι.

28.

Συμμαρτυροίη ταῦτ᾽ ἂν ἐν δίκῃ Κρόνου
μήτηρ, μεγίστη δαιμόνων Ὀλυμπίων,
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ᾽ Ἀθήνας πατρίδ᾽ εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ᾽ ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας γλῶσσαν οὐκέτ᾽ Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ᾽ ἐνθάδ᾽ αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας ἤδη δεσπότας τρομευμένους

Fr. 27, b. Trochaico metro illigavit Bekkerus. *Ἁπαντάπασι* Schaeferus: vulgo *παντάπασι*. Solonis erat *γένωμαι* vel *γενοίμην*.

Fr. 28. Ael. Aristides l. c. cll. Plutarcho Solon. XV. *Οἱ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν καὶ τούτοις συνᾴδει μᾶλλον τὰ ποιήματα. Σεμνύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς Ὅρους ἀνεῖλε κτλ.* 1. Libri *χρόνου*. Correxit Claviger. Reiskius *ἐν μήκει χρόνου* conjectavit. 2. Lobeck. Ajac. p. 219. »*θεῶν Ὀλ. μεγίστη*. Ultimum, quod metro adversatur, fortasse interpretamentum est vocis *πρέσβειρα*.« Nimirum Nicolaus Bachius *ἀρίστη, γῆ μέλαινα*. 4. Harpocration 139, 20. Bekker. *Ὅρος· οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκεινται δανειστῇ.* Plerique libri Plutarchi *πανταχῇ*, Walzii codex q *πολλαχοῦ*. 5. *δουλεύουσα* Plutarchus et Aristidis codd. *ΓΘ*: vulgo *δουλεύσασα*. 9. *χρησμὸν λέγοντας* h. e. qui necessitate coacti exsules plebeculae mercede vaticinabantur. *Οὐκέτ᾽* Brunckius: libri *οὐκ*. 11. *δουλίην* Brunckius: vulgo *δουλείην*. Plutarchus *δουλοσύνην*. 12. *ἤδη* libri: *ἠδὲ* Dindorfius. Sed aliud latere videtur: nam *Γ δεσποτῶν*.

ἐλευθέρους ἔθηκα· ταῦτα μὲν κράτει
ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίους τῷ κακῷ τε κἀγαθῷ
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβὼν
κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ
οὔτ' ἂν κατέσχε θυμὸν οὔτ' ἐπαύσατο,
πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

29.

εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν ἀτέροις δρᾶσαι * διὰ
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' * ἀρχὴν πάντοθεν κυκλεύμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην κύων.

30.

Ἀρχῶν ἄκουε καὶ δικαίως κἀδίκως.

---

14. Affert Plutarchus Solon. XV. 16. ὁμοίους ΓΘ: vulgo ὁμοίως. 20. οὐκ ἂν κατέσχε δῆμον Aristides, qui reliqua omittit, quae ex Plutarcho addita sunt Solon. XVI. *Καίτοι φησὶν, ὡς, εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν, Οὔτ' ἂν κτλ.* Plutarchus quoque δῆμον. Correxit Canterus, Reiskius. Firmat Aristides addens: ἐξελέγξεις δέ με ἡνίκ' ἂν αὐτὸς κτησάμενος τὴν αὐτὴν δύναμιν τῶν λόγων — εἶτα μετριώτερον ἐπὶ σαυτῷ φρονῶν ὀφθῇς. 21. Schaeferus: »Coraës jungit πῖαρ γάλα, *pingue lac.* Brunckius habet pro substantivo, quippe sic interpungens: πρὶν ἂν ταράξας, πῖαρ ἐξέλῃ, γάλα. Cujus ut interpunctionem non probo, ita constructionem amplector.« Vide Buttm. Lexil. II, 47 sqq.

Fr. 29. Aristides l. c. *Εἶτα τί φησὶν ὁ Σόλων; Εἰ γὰρ κτλ.* 3. δρᾶσαι κακά Valckenarius ad Herod. VI, 83. dubitanter; Schaeferus βίᾳ (βίῃ). 4. Libri ἐχειρώθη. Correxit Valckenarius. 5. ἀρχήν libri: »plane, penitus, omnino« Reiskius. Lobeckius Ajac. p. 219. ὀργῇ et κυκλεύμενος. Libri κυκεύμενος.

Fr. 30. Diogenianus Provv. II, 99. Apostol. IV, 53. Ἐκ

IX. Σκόλιον.

31.

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα
μὴ κρυπτὸν ἔχων ἔγχος κραδίῃ
φαιδρῷ προςεννέπῃ προςώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνης φρενὸς γεγωνῇ.

V. Phocylidis Milesii.

Olymp. LIX.

Suidas: *Φωκυλίδης, Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος· ἦν δὲ ἑκάτερος μετὰ χμζ' ἔτη τῶν Τρωϊκῶν, Ὀλυμπιάδι γεγονότες νθ'. Ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις ἤτοι γνώμας, ἅστινας Κεφάλαια ἐπιγράφουσιν· εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.*

1.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ·
Πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

τῶν Σόλωνος ἐλεγείων (*ἰάμβων* vel *ὑποθηκῶν* ludit Gaisfordus) *παραινετική.* Locum non intellexisse videntur Gaisfordus *Ἄρχων ἄ. καὶ δίκαια κἄδικα*, Bacchius *Ἄρχων ἄ. καὶ δικαίῳ κἀδίκῳ* tentantes. Scripsi *Ἀρχῶν.* Magistratibus obediendum esse Solon praecepit.

IX. *Σκόλιον:* Fr. 31. Diogenes Laert. I, 61. *Τῶν ᾀδομένων αὐτοῦ ἐστὶ τάδε· Πεφυλαγμένος κτλ.* Vide Ilgenium ad Scoll. XXXIX. 2. Libri *ἔγχος ἔχων*: transposuit Ilgenius. 3. *πρός σ' ἐνέπῃ* Ilgenius.

V. **Phocylidis Milesii** Fr. 1. Strabo X, 487. *Διεβέβληντο γὰρ ὡς κακοήθεις οἱ Λέριοι· ἔστι δὲ τῶν Σποράδων Λερία.* Cfr. Eustath. Dionys. Perieg. 530. Demodocus Lerius Anth. Pal. XII, 27. *Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ· Πάντες πλὴν Προκλέους· καὶ Προκλέης Χίϊος.* De illo *ὁ μὲν, ὃς δέ* v. Matth. Gr. §. 289, 7.

2.

Χρήζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

3.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης·
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ' ἂρ κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

4.

Καὶ τόδε Φωκυλίδεω· τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

5.

Καὶ τόδε Φωκυλίδεω· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινεύσης.

Fr. 2. Stobaeus Floril. LVI, 6. De cornu Amaltheae v. Zenob. Provv. II, 48.

Fr. 3. Stobaeus Floril. LXXIII, 60. Cfr. Simonidis Amorgini carmen de Mulieribus. 8. *γάμον ἱμερόεντα* Brunckius.

Fr. 4. Stobaeus Floril. LXXXVII, 2. Libri *Φωκυλίδου*. Brunckius *τί πλέον — βουλῇ;* ex codice, ut ait. Et ita Wakefieldius correxit. »Vulgata *τὸ πλέον — βουλῇ·* ironice intelligenda est.« Boissonadius.

Fr. 5. Dio Chrysostomus XXXVI, 80. (440.) *Ἡ τοῦ Φωκυλίδου ποίησίς ἐστιν οὐ τῶν μακράν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, ὥσπερ ὁ ὑμέτερος μίαν ἑξῆς διέξεισι μάχην ἐκ πλείοσιν ἢ πεντακισχιλίοις ἔπεσιν· ἀλλὰ κατὰ δύο καὶ τρία ἔπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει, ὥστε καὶ προστίθησι τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος· οὐχ ὥσπερ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως ὠνόμασεν αὐτόν· ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει; Καὶ τόδε κτλ.* 2. *κρέσσων* ed. Venet. et codex Regius. Vulgo *κρείσσων*. Postea *ἀφραινούσης* legebatur.

6.

*Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν ἅσσ᾽ ἂν περιγογγύζωσι πολῖται.*

7.

*Χρὴ δ᾽ ἐν συμποσίῳ κυλίκων περινισσομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.*

8.

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

9.

Παῖδ᾽ ἔτ᾽ ἐόντα χρεὼν δὴ καλὰ διδάσκεμεν ἔργα.

10.

Πόλλ᾽ ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

11.

*Ἀλλ᾽ ἄρα δαίμονές εἰσιν ἐπ᾽ ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακὸν ἀνέρος ἐκλύσασθαι.*

12.

*Φεῦγε χρήστης κακοῦ ἔμμεναι ἀνδρός,
μή τί σ᾽ ἀνιήσειε διδούς, παρὰ καιρὸν ἀπαιτέων.*

Fr. 6. Phrynichus Ecl. 358. Lobeck. *Γογγυσμὸς καὶ γογγύζειν: ταῦτα ἀδόκιμα μὲν οὐκ ἔστιν, ἰακὰ δέ. Φωκυλίδην γὰρ οἶδα κεχρημένον αὐτῷ τὸν Μιλήσιον, ἄνδρα παλαιὸν σφόδρα· Καὶ κτλ.*

Fr. 7. Athenaeus X, 428, B.

Fr. 8. Aristoteles Polit. IV, 8. *Καλῶς εὔξατο Φωκυλίδης· Πολλὰ κτλ.* Cfr. Theognid. 335.

Fr. 9. Plutarchus Morall. II, 3, F.

Fr. 10. Plutarchus Morall. II, 47, E.

Fr. 11. Clemens Alex. Stromm. V, 725. Potter. *Φωκυλίδης τοὺς ἀγγέλους δαίμονας καλῶν τοὺς μὲν εἶναι ἀγαθοὺς αὐτῶν, τοὺς δὲ φαύλους διὰ τούτων παρίστησιν, Ἀλλ᾽ ἄρα κτλ.*

Fr. 12. Scholl. Aristoph. Nubb. 241. *Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως· χρήστης κ. ἕ. ἀ. φεῦγε, μή*

VI. Xenophanis Colophonii.

Xenophanes Colophonius Dexini vel Orthomenis filius quo tempore vixerit dissentiunt auctores veteres. Clemens Alex. Stromm. I, 353. Potter. *Τῆς Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης ὁ Κολοφώνιος κατάρχει, ὅν φησι Τίμαιος κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι, Ἀπολλόδωρος δὲ κατὰ τὴν τεσσαρακοστὴν Ὀλυμπιάδα γενόμενον παρατετακέναι μέχρι τῶν [Δαρείου τε καὶ] Κύρου χρόνων.* Apollodori rationem sequitur Sextus Empiricus adv. Math. I, 257. neque aliter censuisse Sotion videtur, qui apud Diogenem Laert. IX, 18. Anaximandri aequalem vocat. Vel sic tamen a Timaei partibus standum videtur, v. Welckeri Cycl. Epic. p. 401 sq. Hieronymus Chronico sub Olymp. LX. adscripsit: *Simonides Lyricus et Phocylides et Xenophanes Physicus, scriptor tragoediarum, clari habentur.* Congruit Diogenes, qui Xenophanem *ἀκμάσαι κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα* scribit. Quam Olympiadem ut figerent impulisse videtur ipsius Xenophanis locus, quo Harpagi in Ionicas civitates expeditionem perstrinxit fr. XVII. Karsten.

Πηλίκος ἦσθ' ὅθ' ὁ Μῆδος ἀφίκετο;

quae impressio Olymp. LIX, 1. facta est. Ad eam aetatem spectare videtur fr. Elegiarum VII. nostrae editionis, quo quum senex nonaginta duorum annorum testetur ipse, sexaginta septem jam annos ipsius *φροντίδα* Graeciam pervagatam esse seque *ea aetate* viginti quinque annorum fuisse: illud videtur tempus significasse, quo *ἐξέπεσε τῆς πατρίδος* — sic enim testatur Diogenes — cum aliis Ionicarum urbium civibus Graeciamque Europaeam, Siciliam et Magnam Graeciam adiit. Theologumena

---

σ' ἀν. κτλ. Sic legebatur ante Ernestium et Reizium. *Φεῦγε* Ernestius delebat: Hermanno fortasse Scholiastae verbum est.

Arithm. p. 40. Ἀπὸ τῶν Τρωϊκῶν μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἁρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκαεῖς φυγόντες Μασσαλίαν ᾤκισαν, haec igitur cum Diogenis et Hieronymi notationibus, qui Olymp. LX. floruisse scribunt philosophum, facere videntur et ipsa. Quibus rationibus probatis natum habebimus Olymp. LIII, 4. — a qua aetate non multum abludit notatio Hieronymi sub Olymp. LVI. *Xenophanes Colophonius clarus habetur* —, patria ejectum Olymp. LIX, 1. annos natum viginti quinque, superstitem Olymp. LXXVI. annorum nonaginta duorum, ut cum Hierone et Simonide Ceo, quem κίμβικα appellasse ferunt Scholl. Arist. Pac. 696., et Epicharmo versari potuerit.

Scripsit Xenophanes praeter Elegias, quarum potiores reliquias apposuimus, teste Diogene IX, 18. versibus heroicis κτίσιν Κολοφῶνος καὶ τὸν εἰς Ἐλέαν ἀποικισμόν, ἔπη δισχίλια; libros περὶ φύσεως. Idem quum καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα, composuisse narratur, ἴαμβοι illi non sejungendi videntur a Parodiis et Sillis, quos illi plurimi scriptores adscribunt, heroico metro conscriptos. Ἴαμβοι enim interdum dicta sunt *carmina probrosa*, etiamsi metrum haberent non iambicum, v. Censuram nostram libri Karsteniani in Zimmermanni Annall. Philoll. 1834, 92. p. 739 sqq.

1.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων

Xenophanis Colophonii Fr. 1. Athenaeus XII, 462, C. Ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνην, πλῆρες ὂν πάσης θυμηδίας, Νῦν γὰρ δὴ κτλ. Tractavit G. Hermannus in Zimmermanni Diar. Philoll. 1837, 39. p. 321 sqq. 1. ζάπεδον codices: μέγα ἔδαφος explicat Hesychius; δάπεδον Hermannus.

καὶ κύλικας· πλεκτοὺς δ᾽ ἀμφιτιθεῖ στεφάνους,
ἄλλος δ᾽ εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρητὴρ δ᾽ ἕστηκεν μεστὸς ἐϋφροσύνης·
** ἄλλος δ᾽ οἶνος * * ἐστὶν ἕτοιμος, ὃς οὔπω*
μείλιχος ἐν κεράμοις ἄνθεος ὀζόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι·
ψυχρὸν δ᾽ ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκειται δ᾽ ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ᾽ ἄνθεσιν ἂν τὸ μέσον πάντῃ πεπύκασται,
μολπὴ δ᾽ ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
Χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι

---

2. Libri *ἀμφιτιθείς*: correxit Dindorfius. Ex sqq. repete *ἄλλος μέν;* Pind. Nem. VIII, 37. *χρυσὸν εὔχονται, πεδίον δ᾽ ἕτεροι ἀπέραντον.* Matth. Gr. Gr. §. 288, not. 4. Hermannus *ἀμφέθεθ᾽ εἷς.* 4. Libri *κρατήρ.* 5. »*ἄλλος* ABCP. *ἄλλῳ* VL. *οἶνος ἐστὶν ἕτοιμος* BCP et ut conjicio, A. *οἶνος ἕτοιμος* VL. Indicavi lacunam. *οὔπω* BP: *οὔποτε* VL, quod Musuro deberi videtur. *φησὶ προδώσειν* post *οὔποτε* add. VL. om. BP. et, nisi fallor, A. Videtur hoc Musuri supplementum esse lacunam, quae ille ne perspexerat quidem quo in loco esset, utcunque explentis.« Dindorfius. Hermanno *ἄλλος δ᾽* errore veteris librarii ex secundi distichi hexametro repetitum videtur: verissime. Scripsit autem: *Οἶνος δ᾽ ἐστὶν ἕτοιμος, ὃς οὔπω πυθμένι γείτων,* cll. Hesiodio praecepto O. et D. 366. Quum autem codex A *φησὶ προδώσειν* habere videatur, Xenophanes fortasse perleganter et non sine lepore scripsit: *Οἶνος δ᾽ ἐστὶν ἕτοιμος, ὃς οὔποτε φησὶ προδώσειν*, h. e. *defecturum.* Vide ad Solonis Eleg. 2, 27. 6. Libri *ὀσδόμενος.* Medium verbi *ὄζειν* Ionibus fuisse proprium Hermannus monet: usurpavit Hippocrates. 8. *ἔστιν* Hermannus: vulgo *ἐστίν.* 11. Libri *αὐτὸ μέσον*: Karstenus *ἂν τὸ μέσον*, ut Theognid. 839. *Τούτων δ᾽ ἂν τὸ μέσον στρωφήσομαι.* Alcaeus fr. II, 3. *Ἄμμες δ᾽ ἂν τὸ μέσσον ναῒ φορήμεθα σὺν μελαίνᾳ.* Nec repugnat *πάντῃ*: *ἂν τὸ μέσον* ad *βωμὸν* in medio positum pertinet. Frid. Frankius *αὐτόμεσος*, Hermannus *αὐτομάτοις* conjecerunt. 14. *λόγοις* libri: *νόοις* Eichstadius, quod comprobavit Hermannus, afferens ex Aristoph. fr. 397. *τοὺς νοῦς.* Ego *νόμοις* suspicabar. 15 sq. Hermannus: *εὐξαμένους· τὰ δίκαια δ᾽ ὄνασθαι πρήσσον-*

πρήσσειν· ταῦτα γὰρ ὦν ἐστι προαιρετέον,
οὐχ ὕβρις· πίνειν δ᾽ ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ᾽ ἄνευ προπόλου, μὴ πάνυ γηραλέος·
ἀνδρῶν δ᾽ αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
*ὡς * ἡ μνημοσύνη καὶ τὸν ὃς ἀμφ᾽ ἀρετῆς·*
οὔτι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων,
οὐδέ τε Κενταύρων, πλάσματα τῶν προτέρων,

τας· τὸ γὰρ οὖν ἐστι προχειρότερον, οὐχ ὕβριν· πίνειν κτλ. Verba *εὐξαμένους τὰ δίκαια δύνασθαι πρήσσειν* intellige: *vota suscipientes ut sibi per Deorum potestatem liceat esse justis.* Deinde *ταῦτα γὰρ ὦν* si sana sunt, intellige *πρήσσειν*: nobis olim in verbis *ταῦτα γαρων* latere videbatur genitivus pluralis a v. *προχειρότερον* suspensus, velut *ἀπατῶν*: *προχειρότερον* autem tum *τοῦτο* requireret. Nisi forte poetam locutum statueremus ut Homerum Il. Σ, 128. *Ταῦτά τοι, τέκνον, ἐτήτυμον.* Nunc *προαιρετέον* scribo, vv. *γὰρ ὦν* non sollicitatis. Tum distinxi *οὐχ ὕβρις· πίνειν δ᾽ κτλ.* Vulgo *οὐχ ὕβρις πίνειν κτλ.* *Haec enim praestabiliora, non protervitas* (*προαιρετέα*), nisi forte Xenophanes *ὕβρεις* dedit, quod est in codice B. In Hermanni scriptura *οὐχ ὕβριν* penderet a v. *πρήσσοντας*: at *ὕβριν πρήσσειν* vix videtur dici posse. *Πίνειν*, ut reliqui infinitivi, pendent a v. *χρὴ* v. 13. Nuper Th. Bergkius apud Zimmermann. 1837, 55. p. 453. *προαιρετέον* conjecit et ipse: praeterea scribit: *Σπείσαντας δὲ καὶ εὐξ. κτλ.* ut infinitivus pendeat a vv. *χρὴ δὲ πρῶτον κτλ.* At dici nequit *ἄνδρας χρὴ τὰ δίκαια δύνασθαι πρήσσειν.* Illi *πρῶτον μὲν* respondet *πίνειν δ᾽*. 19. *ἀναφαίνη* Hermannus. 20. *ὡ σημνημοσύνη* P. Hermannus: *ὅσση μν. καὶ λόγος ἀμφ᾽ ἀρετῆς*: »Laudari jubet eum, qui dicat quam diuturna sit memoria et fama virtutis« Scaliger: *ὡς Ἡ μνημοσύνη, καὶ τὸν, Ὃς ἀμφ᾽ ἀρετῆς*, ut Scoliorum exordia indicentur. Ego: *ὡς οἱ μνημοσύνη καὶ πόνος ἀμφ᾽ ἀρετῆς*, *se meminisse virtutis eamque assequi studere.* 21. *οὔτε* C: *διέπει* C: *διέπειν* PVL. 22. *τε* om. BC. Scribendum *οὐδέ γε.* *πλασμάτων* ABC: *πλάσματα τῶν* Schweighaeuserus. Hermannus: *οὐδὲ τὰ Κενταύρων φλάσματα τῶν προτέρων*: »*Κένταυροι οἱ πρότεροι* sunt antiqui illi Centauri.« Ex indole poetae Colophonii additum illud *πλάσματα τῶν προτέρων* *figmenta vetustatis.* Solebat enim fabulas vetustas tanquam vana poetarum commenta exagitare.

ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστι·
θεῶν δὲ προμηθίην αἰὲν ἔχειν ἀγαθόν.

2.

Ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
πὰρ Πίσαο ῥοῆς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλιος καὶ δῶρον, ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν, ταῦτά χ' ἅπαντα λάχοι
οὐκ ἐὼν ἄξιος, ὥςπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη, —

---

23. Libri φενδόνας: Scaliger φλεδόνας. Emendavit Osannus Symboll. Hist. Litter. I, 53. Hermannus φλεδονᾶν. 24. δὲ inseruit Scaliger. προμηθίην Dindorfius; vulgo προμηθείην. ἀγαθόν Frankius et Hermannus, ut opponatur haec sententia verbis: τοῖς οὐδὲν χρηστὸν ἔνεστι. Libri ἀγαθήν.

Fr. 2. Athenaeus X, 413, F. Confer Euripidem ἐν τῷ πρώτῳ Αὐτολύκῳ apud Ath. l. c., quibus addit: Ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενοφάνους οὕτως εἰρηκότος· Ἀλλ' εἰ μὲν κτλ. 1. εἴ κεν Wakefieldius Silv. Crit. II, 49. 3 Πίσα· πόλις καὶ κρήνη τῆς Ὀλυμπίας, Steph. Byz. Rivulus Πίσης dictus. 5. Libri τι δεινόν: correxit Wakefieldius. 6. κυδρότερος Scaliger: κεδρότερος PV. προσορᾶν Jacobsius ad Achill. Tat. 768. προσεραν A. πρὸς ἀέραν B. πρὸς ἄκρα PVL. 8. σῖτ' εἴη Turnebus: σιτείη libri; σιτοίη Casaubonus; καί κέ τί οἱ εἴη Scaliger. Cfr. Aristoph. Eqq. 575 sq. 9. Legebatur πόλεως hic et v. 22. 10. ταῦτα χ' ἅπαντα B: ταῦτα κ' ειπαντα A: ταῦτα κἄπαντα P: ταῦτά γ' ἅπαντα VL: ταῦτά κε πάντα Schweighaeuserus. 11. Sic libri. Verissime: vulgo deest comma post v. ἵπποισιν, unde Schweighaeuserus οὐκ ἔῃ, Dindorfius οὔ κ' ἔοι pessime. Bergkius οὐκ ὢν, h. e. οὐκ οὖν. Oratio sic intelligenda: *Sive etiam equis victoriam reportasset, omnia ista* (προεδρίην ἐν ἀγῶσιν et reliqua) *acciperet, non tam dignus* (ταῦτα ἅπαντα λαχεῖν), *quam ego.*

ἀλλ᾽ εἰκῇ μάλα τοῦτο νομίζεται· — οὐδὲ δίκαιον
  προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη,
  οὔτ᾽ εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τό περ ἐστὶ πρότιμον
  ῥώμης ὅσσ᾽ ἀνδρῶν ἔργ᾽ ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
  σμικρὸν δ᾽ ἄν τι πόλει χάρμα γένοιτ᾽ ἐπὶ τῷ
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ᾽ ὄχθας.
  οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλιος.

3.

Ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
  ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε᾽ ἔχοντες,
  οὐ μείους ἤπερ χίλιοι εἰς ἐπίπαν·
αὐχαλέοι χαίτῃσιν * ἀγαλλόμεν᾽ εὐπρεπέεσσιν,
  ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

---

14. ἀγανῆς Valckenarius Theocr. Adoniaz. 404, B. 15. Libri λαοῖσιν ἔτ᾽ εἴη: correxit Stephanus. 18. Intellige ἔργων ῥώμης, ὅσσα ἔργα ἀνδρῶν ῥώμης πέλει. 19. ἂρ VL. — Addit Athenaeus: Πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος.

Fr. 3. Athenaeus XII, 526, A. Κολοφώνιοι, ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι προῄεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν· Ἀφροσύνας κτλ. De Colophoniorum ὕβρει v. Diogeniani Provv. V, 79. Bodl. 578. Scholl. Aristid. 243. Frommel. 1. Ἁβροσύνας Schneiderus Saxo: libri ἀφροσύνας, quod propter v. ἀνωφελέας ferri nequit. 2. Sic Dindorfius: ησσα νευ στυγερῆς A. ησσανευ στυγερῆς B. ἦσσαν ἐϋστυγερῆς P. ἦσαν ἐπὶ στ. VL. 4. ἤπερ PVL: ὥσπερ AB. 5. χαίτισιν AB. ἀγαλλόμεν᾽ L, quod dubitat Dindorfius an ferri non possit; ἀγάλλομεν P. ἀγαλλόμενοι V. Hermannus si ultima vox sana sit, ita corrigendum versum statuit: αὐχαλέοι χαίτης ἐν ἀγάλμασιν εὐπρεπέεσσιν, in Zimmermanni Diar. Philoll. 1837, 39. p. 324. 6. ὀδμὴν ABP: ὀδμῇ VL. χρίμασι V. χρήμασι AP. χρίσμασι L.

4.

Οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
ἐγχέας, ἀλλ' ὕδωρ καὶ καθύπερθε μέθυ.

5.

Πέμψας γὰρ κωλῆν ἐρίφου, σκέλος ἤραο πῖον
ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,
τοῦ κλέος Ἑλλάδα πᾶσαν ἀφίξεται οὐδ' ἀπολήξει
ἔς τ' ἂν ἀοιδάων ᾖ γένος Ἑλλαδικόν.

6.

Καὶ ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

7.

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

Fr. 4. Athenaeus XI, 782, A. *Ἔθος ἦν πρότερον ἐν τῷ ποτηρίῳ ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον· Ξενοφάνης· Οὐδέ κτλ.* 2. *ἐγχέας* Casaubonus. *ἐγχεύας* C. *χεύας* Schweighaeuserus.

Fr. 5. Athenaeus VIII, 368, E. *Ξενοφάνης ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησί· Πέμψας κτλ.* 4. *ἀοιδῶν* C. *Ἑλλαδικῶν* in C superscriptum. Reliqui et vulgo *Ἑλλαδικόν.* Olim conjiciebam *ἀοιδοπόλων ᾖ γ. Ἑλλαδικῶν.*

Fr. 6. Diogenes Laert. VIII, 36. *Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον γεγενῆσθαι* [sc. *τὸν Πυθαγόραν*] *Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή·*
Νῦν οὖν τ' ἄλλον ἔπειμι λόγον δείξω δὲ κέλευθον.
ὃ δὲ περὶ αὐτοῦ (Pythagoram intellige) *φησίν, οὕτως ἔχει· Καὶ ποτέ μιν κτλ.* Confer Anth. Pal. VII, 120. Suidas v. *Ξενοφάνης.*

Fr. 7. Diogenes Laert. IX, 19. *Ξενοφάνης μακροβιώτατος γέγονεν, ὥς που καὶ αὐτός φησιν· Ἤδη κτλ.* 2. *ἐμὴν φροντίδ'* *meum opus*, vel carmina epica, vel potius philosopha scripta.

VII. Theognidis Megarensis
Elegiarum Prooemium.

Suidas: *Θέογνις, Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ νθ' Ὀλυμπιάδι, ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας* (*ἀναλωθέντας?* sed v. Welckeri Prolegg. p. XV.) *τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, Γνώμας δι' ἐλεγείας εἰς ἔπη βώ· — καὶ πρὸς Κύρνον, τὸν αὐτοῦ ἐρώμενον, Γνωμολογίαν δι' ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς, τὰ πάντα ἐπικῶς* *). *Καὶ παραινέσεις μὲν ἔγραψε Θέογνις, ἀλλ' ἐν μέσῳ τούτων παρεσπαρμέναι εἰσὶ μωρίαι καὶ παιδικοὶ ἔρωτες καὶ ἄλλα ὅσα ὁ ἐνάρετος ἀποστρέφεται βίος.*

De condicione farraginis **Theognideae**, qualis in codicibus nostris exstat, satis perite olim Joachimus Camerarius sic judicavit: *Φανερὸν ὅτι τὰ Θεόγνιδος ἔχοντα ἐπιγραφὴν ἔπη συναθροισμός τίς ἐστι ποιημάτων διαφόρων, περιαιρεθέντων δηλαδὴ ἐκ τῶν ἐκείνου ὅσα τινὸς αἰσχρολογίας ἔχεσθαι ἔδοξε καὶ ἀντὶ*

---

*) Calidius Franckius Callino p. 87. transponendo sanabat sic: *καὶ ἑτέρας ὑποθήκας παραινετικὰς ἐπικῶς. Καὶ τὰ πάντα παραινέσεις μὲν ἔγραψε Θέογνις· ἀλλ' κτλ.* Corruptelam quin passus sit Suidae locus vix potest ambigi, quum Grammaticus, unde compilavit illa, vix ita caecutierit, ut omnia Theognidis carmina epica fuisse dixerit. Neque patrocinium v. *ἐπικῶς* susceperis sic, ut ponas secutum esse consuetudinem avitam, quae *ἐπῶν* nomine et epos heroicum et elegias complecteretur: nec illud in rem videtur facere, si ad dialectum Epicam putes respexisse. Hinc fortasse librarii incusanda oscitatio est, ut *ἐλεγειακῶς* reponendum conjiciam.

Ceterum condidisse Theognidem praeter elegias heroici etiam metri carmina, ut Xenophanes fecit aliique, apparet ex Platonis Menone 95, D., ubi Socrati sic sciscitanti: *Καὶ Θέογνιν τὸν ποιητὴν οἶσθ' ὅτι ταὐτὰ ταῦτα λέγει* haec oggerit Meno: *Ἐν ποίοις ἔπεσιν;* Respondet Socrates: *Ἐν τοῖς ἐλεγείοις.* Quanquam sunt qui *ἔπη* h. l. nihil nisi verba sonare sibi persuaserint, ut Jul. Caesar de Carm. Graecor. Eleg. p. 43. Videant autem quo id jure sumant, quid oppositio flagitet *τῶν ἐπῶν* et *ἐλεγείων.* Nisi Menonem adeo rudem poetarum fingere libet, ut Theognidea carmina qualia fuerint vix fando accepisse dicamus.

τούτων ἐμβληθέντων ἄλλων. Disjecti membra poetae arguit primus obtutus: adeo fere nullo ligamento singulae elegiae vinctae sunt: arguit testimoniorum fides vetustorum. Nam auctore Xenophonte apud Stobaeum Florileg. LXXXVIII, 499. Gesner. constat, initium duxisse Theognideorum collectionem, qualem illius aetatis homines versabant, ab iis versibus, quos nostri codices inserunt a vv. 183 — 190. Et vv. 237 sqq. pristini *συναθροισμοῦ* eorum quae ad Cyrnum scripta fuerunt, finem fecisse sagaciter viri docti perspexerunt.

Poeta Megarensis — sic enim rem nobis informamus — diversa aetate, fortuna, condicione carmina elegiaca condidit diversa et in quibus diversos amicos alloqueretur. Juvenis poeta et opulentus vel lascivisse videtur carminibus, ad eamque condicionem referenda videntur, quae vividioribus distincta coloribus enitent in corolla elegiaca. Senis autem et multa variaque perpessi severitatem animique tristitiam spirant elegiae, quas ad Cyrnum Polypaïdam scripsit. Delegit enim poeta, nobilium in paucis fautor et admirator, nobilem adolescentem Doriensem — quem quum Suidas *τὸν αὐτοῦ ἐρώμενον* vocat, recte facit, siquidem ad mores Doriensium populorum amorem puerilem revocamus, v. Muelleri Dorr. II, 292 sqq. —, cui paterno amore deditus novicius Chiron alteri Achilli pectus morum probitate muniret et ad virtutem omnem conformaret; sed ad eam virtutem, qualis Optimates deceret. Confer v. 1049 sq.

Σοὶ δέ τοι οἷά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτὸς
ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ.

Et ea quidem carmina, quibus ad Cyrnum conversa oratio est, caput sunt universae poesis Theognideae: hinc maxime poetae virtutes censentur. Hanc partem spectans Xenophon haec scripsit: *Θεόγνιδός ἐστιν ἔπη τοῦ Μεγαρέως· οὗτος ὁ ποιητὴς περὶ οὐδενὸς ἄλλου λόγον πεποίηται ἢ περὶ ἀρετῆς καὶ κακίας*

ἀνθρώπων, καί ἐστιν ἡ ποίησις σύγγραμμα περὶ ἀνθρώπων, ὥσπερ εἴ τις ἱππικὸς ὢν συγγράψειε περὶ ἱππικῆς. Neque tamen hinc illud duci videtur posse, ut poeta ipse ab initio carmen gnomicum perpetuum condiderit: quod quum abhorret a more Graecorum poetarum, tum, si factum esset, vix toties ubique rediret appellatio Cyrni. Verum etiamsi poeta v. 19. se *σοφίζεσθαι* profiteatur ipse dicatque vv. 27 sqq.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτὸς,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον,

tamen illud pro explorato habendum est, principio poetam carmina elegiaca scripsisse singula et quae diversa rerum condicione nata modico ambitu absolverentur. Sed quum paullatim per omnem honestatis campum late vagatus esset, carmina ista ad Cyrnum missa in ordinem quendam coagmentavit continuum: in quo ille coagmentando quam normam secutus sit quoque ordine disposuerit singula, vix conjectura possis assequi. Praeter ista autem carmina erant alia et diversi argumenti et quibus alios vel adolescentes vel familiares alloquutus erat poeta, Onomacritum, Clearistum, Demonacta, Timagoram, Democlem, Academum, alios. Et ea quidem, quae ad Simonidem quendam vv. 667 sqq. scripsit, eo ipso tempore scripsit, quo nobilium opes diriperentur et *ἀναδασμὸς* fieret *οὐκέτ' ἴσος ἐς τὸ μέσον*: in carminibus ad Cyrnum missis ea omnia dudum facta, poeta exsul in patriam urbem reversus misere aetatem trahit, exutus opibus, infestus bonis malisque. Nunc quidem carmina illa discerpta et cohortationibus ad Cyrnum intertexta leguntur, ut magnam quandam cladem sustinuisse videatur synagoge Theognidea. Quanquam vel Xenophontis ista editio, quam a poeta ipso profectam statuimus, vix artificioso sententiarum tenore fuerit composita. Difficile enim est dictu, qui potuerit esse ordo interior, si versus illi Xenophontei totius collectionis initium

erant. Omnino, si quid video, si aliquando aliquo interiore vinculo ligatae exstitissent elegiae, vix rupto illo summa imis mixta haberemus. Elegiae singulae quam faciem habuerint argumento esse possunt vv. 1135—1150: quae integra Elegia est.

Hanc miseram carminum Theognideorum condicionem licet conquesti essent omnes, nuper demum exstitit F. G. Welckerus, qui soluta hac compagine denuo ordinaret singula eaque ratione accuratiori poetae intellectui viam sterneret, quam ille egregiis Prolegomenis reddidit faciliorem.

Ex hodierna mole Welckerus eliminavit primum ea quae aliis poetis a veteribus testibus vindicantur, Tyrtaeo, Mimnermo, Soloni, aliis. Deinde Parodias gnomarum Theognidearum: quod genus corruptionis acute persequitur Prolegg. LXXX sqq. Tertium secrevit Epigrammata sententiosa quae vocat, *quod ea certas quasdam personas, locos, casus, tempora spectent*, XCV sqq. Neque tamen negat Welckerus partem certe istorum ab ipso esse Theognide profectam: alia ob affinitatem argumenti adjecta esse. Verum primum vellem cavisset ab ambigua et prava Epigrammatum appellatione: quo nomine apud vetustiores Graecos nonnisi ea signantur carmina, quae vel sepulcris vel donariis inscriberentur. Deinde concidunt Epigrammata illa, si Cyrnum Polypaïdam certum quendam adolescentem fuisse jure statuimus. Nihil autem mirum ab eo qui nostrum corpus Theognideum consarcinavit, multa resecta esse et abolita, quae ad certas res amati puelli aliorumque spectarent: selegit enim maxime ea quae latius paterent. Haec igitur ipsa testimonio sunt, Elegias fuisse initio, non Gnomologiam eodem filo deductam, eodem tempore conditam.

Segregavit Welckerus quarto loco carmina convivalia, quae repraesentent maximam partem poetam juvenem et opulentum, quum Gnomologus

senex et inopia pressus scripserit. At vix Welckerus ipse infitias eat, in eundem cadere hominem, ut juvenis ludat, senex si non morose at severe cum juvenibus agat. Neque Welckerus a Theognide omnia ista aliena censet: si quid remissius scripserit poeta, a turpitudine tamen temperasse ac separatim nec multa hujus generis edidisse. Dubitabilis limitatio.

Quintum sejunxit ea, in quibus poeta Polypaïdam — *Πολυπαΐδης* enim auctore Petro Elmsleio recte nunc scribitur, quum codd. et edd. priores ubique *Πολυπαίδης* monstrent — affatur, licet ea auctorem habere poetam Megarensem certissimum sit. Ponit enim Welckerus, qui huc trahit Suidae verba: *καὶ ἑτέρας ὑποθήκας παραινετικάς*, alterum exstitisse Gnomologiam ad Polypaïdam, argumenti quam maxime similis priori: valde enim mirandum esse, in eadem Gnomologia tot tamque similes exstitisse gnomas, quae verbis paullulum inflexis recurrant: compone versus 291 sqq. cum 647 sqq.; 731 cum 575; 209 cum 211; 645 cum 115; 215 cum 1071; 555 cum 401; 59 cum 1031. Verum periculum est, ne quaedam a compilatore bis in ordinem coacta sint diversis locis, quae primitus eadem tractu temporis et vario usu, id quod in ejusmodi carminibus persaepe usu venit, paullo essent immutata.

Nobis *Πολυπαΐδης* est patronymicum Cyrni, a patris nomine *Πολυπᾶϊς*, h. e. *Πολυπάμων*, forma Doriensibus sueta. Jam non opus erit ut violenter divellantur quae eodem sententiarum flumine a Cyrni compellatione ad Polypaïdam deflectunt, verbi gratia vv. 53—60. Et unius certe codicis H librarius verum videtur significasse, qui hunc Theognideis praefixerit titulum: *Θεόγνιδος Μεγαρέως γνωμολογία πρὸς Κύρνον Πολυπαίδην τὸν ἐρώμενον.* Vix denique Suidas, qui unam *Γνωμολογίαν* recenset,

reticuisset, si duae diversae gnomologiae ad Cyrnum altera, altera ad Polypaïdam exstitissent.

Postremo, quo digitum intendit auctor a Suida exscriptus, carmina παιδικὰ maximam partem ab Immanuele Bekkero demum ex praestantissimo libro Mutinensi protracta diremit a corpore Theognideo Welckerus. In quo codice optimo quum priora et a reliquis codicibus servata Ἐλεγείων ά inscribantur, haec ad calcem relegata Ἐλεγείων β́ appellentur: jam a Grammaticis separatim posita patet carmina παιδικά. Quanquam illi minus religiosi in componendis paribus versati sunt.

Quid autem secutus sit quisquis hanc Theognideam saturam apparavit, difficilis incidit quaestio. Nullo fere certo consilio undique omnia corrasa esse et in unam Myconum conducta demonstrare videntur quae supra de ordine Xenophonteo disputabamus. Neque tamen adducimur, ut assentiamur Welckero, qui Proll. CIII. in eam abeat opinionem, ut locos omni compagine solutos ex aliis scriptoribus vel Florilegiorum concinnatoribus vel qui afferendis illis ipsorum dictis fidem et auctoritatem conciliavissent, temere in unum conflatos esse statuat. Quod non videtur credibile esse. Potius frequenti usu — constatque pueris in manus tradita fuisse Theognidea ediscenda — nescio quo tandem fato factum videtur, ut conturbato ordine pristino novicius se insinuaret. Exstiterit necesse est aliquis, qui et Theognidea et aliorum poetarum frustula Elegiaca compingeret, in eam ille curam sedulo intentus, ut ea potissimum consignaret quae essent sententiosa; posthaberet quibus certarum rerum impressae notae essent. Is tunc novus ordo non ordo, quem post Ioannis Stobaei aetatem invaluisse evicit Welckerus, ita evaluit, ut ab omnibus librariis cum religione propagaretur. In hac indigesta mole interdum sinistre conflata, quae luxata rectius habentur, quam absurde confusa: πρόσθε λέων, ut

ait ille, *ὄπιθεν δὲ δράκων*, v. Welckeri Prolegg. CIV sqq. Incerto casui tantum concessum fuit juris, ut, qui mos fuit veterum Grammaticulorum, ex similitudine literarum fragmina juxta collocata appareat, quo de misello artificio post alios nuper exposuit Lehrsius Quaestt. Epp. 213 sqq. Exstabat autem hic ordo jam saeculo XI, quo Suidas lexicon suum comportavit: ad eandemque paene antiquitatem adscendere videtur codex Mutinensis. Ceterum illud recte tenuere librarii, nullo continuo et interrupto flumine sententias delabi. Nam quod nostra aetate instituit Ric. Brunckius, ut singulas particulas spatio a contiguis sententiis dispesceret, quodque institutum tenuit Imm. Bekkerus et nos tenendum rati sumus, idem factum in codicibus Bekkeri BDHIMNQR.

Welckerus autem sic aggressus est resuscitationem Theognidis satis periculosam, ut haudquaquam voluerit videri compositionis artem pristinam, si qua fuit, redintegrare conatus esse — id enim excederet humanarum virium mediocritatem —, sed ut paria juncta paribus, similibus similia, expeditiorem redderent et jucundiorem poetae intellectum. Quem autem cursum tenuerit vir summus in itinere lubrico et ambiguo vindicat CVIII sqq. Nobis hoc deberi videbatur codicum manu scriptorum et multitudini et vetustati, ut ordinem constanter traditum immutare religioni duceremus, quum praesertim, si ab octo versibus primis recesseris, Welckeri ordo carens rectore fluctuet. In eandem sententiam disputat Geelius Bibl. Crit. Nov. 1828, IV, 220 sqq. —

Consectarium est, ut de vita poetae quam poterimus brevissime absolvamus. Proficiscamur ab Harpocratione, qui haec consignavit: *Τοῦ ποιητοῦ Θεύγνιδος μνημονεύει Ἰσοκράτης ἐν ταῖς πρὸς Νικοκλέα ὑποθήκαις* (Isocr. Nicocl. 12., ubi Hesiodum et Theognidem et Phocylidem *ἀρίστους συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων* vocat.)· *οὗτος δ' ἦν Μεγαρεὺς*

ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγάρων· αὐτὸς γάρ φησιν ὁ ποιητής (v. 783.)·

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν·

ᾧ μὴ ἐπιστήσας Πλάτων ἐν ά Νόμων τῶν ἐν Σικελίᾳ Μεγαρέων πολίτην ἔφασκεν [εἰς Σικελίαν]. κατηκολούθησαν δὲ τῷ Πλάτωνι οὐκ ὀλίγοι. Illa *εἰς Σικελίαν* seclusit Dobraeus. Natus Theognis Megaris juxta Atticam degit in Sicilia, Euboea, Lacedaemone, ubi se hospitaliter acceptum praedicat ipse v. 783 sqq. Et Megarensium quidem Siciliae civis factus est, unde Platoni Legg. I, 630, A. est *πολίτης τῶν ἐν Σικελίᾳ Μεγαρέων*, quod de *θέσει*, non *φύσει* intelligi debere nunc nemo est quin consentiat. Recte Scholiasta: *Τί δὲ ἐκώλυεν αὐτὸν ἐκ ταύτης μὲν εἶναι τῆς Μεγαρίδος, ἀπελθόντα δὲ εἰς Σικελίαν, ὡς ἡ ἱστορία ἔχει, γενέσθαι νόμῳ Μεγαρέα ἐκεῖ, ὡς καὶ τὸν Τύρταιον Λακεδαιμόνιον;* Ad Megara juxta Atticam quum alia spectant aperte, tum v. 773 sqq. apertissime. Vixit poeta circa Olympiadem sexagesimam: Hieronymus in Chronico Ol. LIX, 1. vel LVIII, 1. annotavit: *Theognis poeta clarus habetur.* Reliqua quae ad fata poetae illustranda faciunt, ex libro ipsius, quem nobis temperare non potuimus quominus delectui nostro insereremus integrum, lecto et pensitato patescent. Nostrum est, ad exemplum Welckeri paucis enarrare quae condicionem patriae urbis ita exhibeant, unde in poetae intellectum lux redundet.

Multas Megarensium civitas et magnas subiit conversiones rerum civilium. Ipse auctor poeta v. 855 sqq.

Πολλάκις ἡ πόλις ἥδε δι' ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη νηῦς παρὰ γῆν ἔδραμεν.

Nam quum Theagenes Olymp. XLII. adjutus a plebe nobilium et divitias et potentiam perosa tyrannidem occupasset, de qua arte refert Aristoteles Polit. V, 4, 5., idemque rursus esset expulsus ab Optimatibus, ut putant, quibus insultasse videtur,

Μεγαρεῖς — Plutarchi verba apposui Quaestt. Grr. XVIII. — *ὀλίγον χρόνον ἐσωφρόνησαν κατὰ τὴν πολιτείαν· εἶτα πολλὴν καὶ ἄκρατον αὐτοῖς ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων, διαφθαρέντες παντάπασι τά τε ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο καὶ παριόντες ἐς τὰς οἰκίας αὐτῶν οἱ πένητες ἠξίουν ἑστιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς· εἰ δὲ μὴ τυγχάνοιεν, πρὸς βίαν καὶ μεθ' ὕβρεως ἐχρῶντο πᾶσι. Τέλος δὲ δόγμα θέμενοι τοὺς τόκους ἀνεπράττοντο παρὰ τῶν δανειστῶν, οὓς δεδωκότες ἐτύγχανον, παλιντοκίαν τὸ γιγνόμενον προσαγορεύσαντες.* Verum, ut solebat fieri, demagogorum feracem segetem tulit libertas ista popularis et licentia effrenis. Demagogi enim teste Aristotele Polit. V, 4, 3. *ἐξέβαλον πολλοὺς τῶν γνωρίμων, ἕως πολλοὺς ἐποίησαν φεύγοντας.* Et post: *Οἱ δὲ κατιόντες ἐνίκησαν μαχόμενοι τὸν δῆμον καὶ κατέστησαν τὴν ὀλιγαρχίαν.* Constat ex Thucydide IV, 74. cll. V, 31., *δημοκρατίαν* rursus exceptam esse dominatu paucorum. Inter exsules autem illos et eos qui victa praelio illo plebe redierant, fuit Theognis, qui pleraque tunc condidit carmina, quum principatus nobilium denuo popularibus turbis cessisset: qui status ad Olymp. LXXXIX, 1. usque obtinuit. Theognidi autem, homini nobili, qui ab iis quos fidissimos sibi habuisset turpiter derelictus esset patriisque bonis exutus, novus rerum status bilem movit eumque ardentissimum propugnatorem avitae nobilitatis Doriensis in versus misit galeatos. Desperat poeta de miserrima condicione patriae, quum in transversum agi cuncta et faecem plebejam in omnia sacra profana nequiter grassantem gubernacula civitatis tenere vidit: tentare autem ab altera parte omnia et machinari demagogorum callidissimum genus (*ἀδίκους ἄνδρας*). Omnium tunc rerum alia facies: antiquatae leges patriae, remissa severitas morum et proculcata probitas: agri divisi, domini de avitis possessionibus depulsi, magistratus et sacerdotia a nobilibus delapsa ad *κενεόφρονα δῆ-*

μον, matrimonia inita cum plebejis, omnia lucelli gratia infide patrata, rerum status universus ita concussus, ut qui antea rerum omnium domini exstitissent, jam ad infimae plebeculae contemptum essent detrusi. Quo tunc vel maerore contabuerint vel aestuaverint indignatione animi Optimatium, tanquam in tabula picta Theognidis exhibet libellus. Excusationem autem habet hoc flagrantissimum Optimatium studium illis temporibus, quibus nondum Socrates veriora sanxerat de integra *καλοκἀγαθίᾳ* et vera nobilitate animi: habet in Theognide praesertim, quem aequum erat summo odio persequi eos, quorum vel perfidia vel crudelitate bonorum omnium jacturam fecisset et extra patriae fines exsul vagaretur. In eo homine non mirandum est, si *ἀγαθῶν* (vel *ἐσθλῶν*) et *κακῶν* (vel *δειλῶν*) appellatione sic abutitur, ut nobilitatem generis et morum bonitatem, generis humilitatem et pravitatem animi juxta aestimet.

Ea autem praecepta, quae Cyrno Polypaïdae propinat poeta, quibusvis nobilium Doriensium filiis quae ingererentur, digna erant. Quod vero Welckerus ipsum nomen Cyrni appellativum censet, quo universe *puellus generosus* significetur Prolegg. XXXIII, multas id habet et magnas cautiones. Nam parum ea opinatio commendatur vel a more veterum poetarum, qui certum aliquem hominem suaviter allantur, vel a fide antiquitatis, quae Cyrnum amasium poetae vocet, vel a locis nonnullis carminum ipsorum, ex quibus manifesto claret, quo loco Cyrnus fuerit Theognidi, vide vv. 253 sqq., 655., 820., 1051 sqq., vel denique a memoria Photii, qui haec scripsit s. v. *Κύρνος· ἐρώμενος Θεόγνιδος· Μακεδόνες δὲ τοὺς σκοτίους κύρνους καλοῦσιν.* Vox *Κύρνου* ejusdem est radicis propago, ex qua pullularunt *κόρος, κοῦρος, κῶρος, κύριος, κοίρανος,* alia: verum nihil obstabat, quominus istud nomen homini inderetur proprium. Postremo res confecta

erit, si Cyrnum eundem quem Polypaïdam merito arbitramur. Welckerum autem par fuerat statuere, Polypaïdae nomen et ipsum non certi esse hominis, si ne Cyrni quidem fuisse putavit. —

Inter codices Theognideos unus omnium maxime eminet et vetustate et praestantia Mutinensis Bekkeri (A). Cujus virtutem libri *KO* (Venetus 522. et Vaticanus 915.), ita aemulantur, ut transitum tamen faciant ad reliquorum turpitudinem et sordidas nequitias.

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ
φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
εἴσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε,
σοὶ μὲν τοῦτο θεὰ μικρόν, ἐμοὶ δὲ μέγα.

---

1. *Λητοῦς υἱέ, Διὸς τέκος.* Similiter Eur. Iph. Aul. 902. Taur. 227. Porson. Phoeniss. 22. 3. Hymn. Hom. XXI, 3. Theocr. XVII, 3. 4. *μοι AO*: reliqui *μευ*. 6. Hymn. Hom. Ap. Del. 118 sqq. Ovid. Met. VI, 336. Cic. Legg. I, 1. 7. De *τροχοειδέϊ λίμνῃ* Herod. II, 170. Seidler. Eur. Iph. Taur. 1074. 9. Hymn. Hom. Cerer. 13. Apoll. Rhod. IV, 1171. 11. *θηροφόνε* Brunckius. Vide Porson. Praef. Hec. IX. Hermann. Orph. 764. Lobeck. Aj. 176. 12. *εἴσαθ'* Bekkerus ex libris plerisque. In A suprascriptum est *cognovit.* Pauci *εἵσαθ'*, *ἥσαθ'*.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ᾽ ἔπος·
» ὅ ττι καλόν, φίλον ἐστί· τὸ δ᾽ οὐ καλὸν οὐ φίλον ἐστίν.«
τοῦτ᾽ ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ᾽ ἔπεσιν, λήσει δ᾽ οὔποτε κλεπτόμενα.
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς τις ἐρεῖ » Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέος.« πάντας δὲ κατ᾽ ἀνθρώπους ὀνομαστός.
ἀστοῖσιν δ᾽ οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ᾽ ὕων πάντεσσ᾽ ἁνδάνει οὔτ᾽ ἀνέχων.

Σοὶ δ᾽ ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτὸς
Κύρν᾽ ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ᾽ ἐὼν ἔμαθον.

Πέπνυσο, μηδ᾽ αἰσχροῖσιν ἐπ᾽ ἔργμασι μηδ᾽ ἀδίκοισιν
τιμὰς μηδ᾽ ἀρετὰς ἕλκεο μηδ᾽ ἄφενος.

---

17. Eur. Bacch. 879. *Ὅ τι καλόν, φίλον ἀεί.* Plato Lys. 216, C. *Κινδυνεύει κατὰ τὴν ἀρχαίαν παροιμίαν τὸ καλὸν φίλον εἶναι.* Heyn. Apollod. 226. Muret. V. L. IV, 4. Valcken. Phoen. 828. 19 sqq. in fine Eclogarum posita fuisse suspicantur: cfr. Horat. Carmm. III, 30. Ovid. Met. fin. 871 sqq. 20. *κλεπτόμενα* AO: vulgo *κλεπτομένη*. Intellige: *ἡ σφρηγὶς ἐπίκειται, ἵνα μὴ κλέπτηται τὰ ἔπη.* 21. *ἐκλέξει* K. 22. *πᾶς τις ἐρεῖ* AKO: vulgo *πᾶς ἐρέει.* Vide vv. 492. 621. 794. 23. *Μεγαρέως* Bekkerus. *Ὀνομαστός* AKO: vulgo *ὀνομαστοῦ*: Bekkerus: *Corrupta est*, inquit, *lectio*, *quo minus fragmenta coaluisse duo pateret.* Welckerus: *Nomen meum*, *inquit*, *appono, quo tanquam sigillo hisce versibus sententiarum mearum* (*σοφιζομένῳ ἐμοί*) *impressae, vindicentur illae ab imitatoribus aliena usurpantibus. Quos eo magis sua attrectare iisque retractandis et denuo in elegos fundendis auctoritatem conditori debitam suo ipsorum nomini arrogare vetat, quo minus sperandum sit, emendatiora ea ab istis exhibitum iri. Tropus desumptus a ταμιείοις.«* Morem veterum poetarum nomen profitendi suum vel in fronte operum vel ad calcem illustrat Valckenar. Theocr. I, 65. 26. *πάντεσσ᾽* A: *πάντως* EL: *πάντας* vulgo. Vide v. 801 sqq. Porson. Eur. Or. 1623. Herm. Orph. 705. Elmsl. Med. 12. 27. Hesiod. O. et D. 288. 30. *Τιμάς*, h. e. *μὴ τιμάς.* Arist. Avv. 644. *Ἰῇ δ᾽ οὐδ᾽ ἀὴρ οὐδ᾽ οὐρανὸς ἦν.* Hartung. de Particc. Graec. I, 208.

Ταῦτα μὲν οὕτως ἴσθι. κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ παρὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δέ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Οὐδεμίαν πω Κύρν' ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ, —
δῆμόν τε φθείρουσι, δίκας τ' ἀδίκοισι διδοῦσιν
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος, —
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
οἳ πρόσθ' οὔτε δίκας ᾔδεσαν οὔτε νόμους,
ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος.

---

36. *συμμισγῃῖς* A: vulgo *συμμιχθῇς*; alii *συμμιγῇς*, *συμμίξῃς*. Cfr. 1165. Herod. I, 123. IV, 151. VIII, 67. 79. *Ἐνόντα* citat Aristoteles: v. Blomf. Eur. Hippol. 920. 45. Sic dedi ex A: reliqui *φθείρωσι*, *διδῶσιν*. Hesiod. Opp. 27. 17. *μούναρχοι* AKO. 54 sqq. Intellige ruricolas tum quidem invito poeta in civitatem receptos, olim pellibus amictos in agris latentes, urbanas res perosos. Vide Muelleri Dorr. II, 41. Welcker. Proll. XXXV. Hinc recte cervorum instar urbem fugere dicuntur. Aliter Schaeferus ad h. l. et qui omnia pervertit Paldamus ad Propert. 304.

καὶ νῦν εἰσ᾽ ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ᾽ ἀνέχοιτ᾽ ἐσορῶν;
ἀλλήλους δ᾽ ἀπατῶσιν ἐπ᾽ ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ᾽ ἀγαθῶν.

Μηδένα τῶνδε φίλον ποιεῦ Πολυπαΐδη ἀστῶν
ἐκ θυμοῦ, χρείης εἵνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ᾽ ὁτιοῦν
σπουδαῖον. γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
ὥς σφιν ἐπ᾽ ἔργοισιν πίστις ἔπ᾽ οὐδεμία,
ἀλλὰ δόλους τ᾽ ἀπάτας τε πολυπλοκίας τ᾽ ἐφίλησαν
οὕτως ὡς ἄνδρες μηκέτι σωζόμενοι.

Μήποτε Κύρνε κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
εὖτ᾽ ἂν σπουδαῖον πρῆγμ᾽ ἐθέλῃς τελέσαι,
ἀλλὰ μετ᾽ ἐσθλὸν ἰὼν βουλεύεο, πολλὰ μογήσας
καὶ μακρὴν ποσσὶν Κύρν᾽ ὁδὸν ἐκτελέσας.

Πρῆξιν μηδὲ φίλοισιν ὅμως ἀνακοινέο πᾶσιν.
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

Παύροισιν πίσυνος μεγάλ᾽ ἀνδράσιν ἔργ᾽ ἐπιχείρει,
μή ποτ᾽ ἀνήκεστον Κύρνε λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ Κύρνε διχοστασίῃ.

Παύρους εὑρήσεις Πολυπαΐδη ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

---

57 sqq. Cfr. 1109 sqq. 73. Libri *ὅλως*, quod est contra epici sermonis usum et elegiaci. Brunckius *ὁμῶς*, Jacobsius et Bekkeri edit. 1815. *ὅμως*. *᾿Ανακοινέο* EL, *ἀνακοίνεε* G. *ἀνακίνεο* Q, *ἀνακοίνεο* reliqui. Doederlein. Lectt. Varr. Decad. p. 3. *ἀνακοίνοε*, sed v. Schaeferum ad Scholl. Apoll. 156. Buttmann. Gr. Max. I, 501.

τοὺς δ᾽ οὐχ εὑρήσεις διζήμενος οὐδ᾽ ἐπὶ πάντας
ἀνθρώπους, οὓς νηῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδώς, οὐδ᾽ αἰσχρὸν χρῆμ᾽ ἔπι κέρδος ἄγει.

Μή μ᾽ ἔπεσιν μὲν στέργε, νόον δ᾽ ἔχε καὶ φρένας ἄλλῃ,
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.

Ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ᾽ ἀποειπὼν
ἔχθαιρ᾽, ἀμφαδίην νεῖκος ἀειράμενος.
ὃς δὲ μιῇ γλώσσῃ δίχ᾽ ἔχει νόον, οὗτος ἑταῖρος
δεινός, Κύρν᾽, ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

Ἤν τις ἐπαινήσῃ σε τόσον χρόνον ὅσσον ὁρῴης,
νοσφισθεὶς δ᾽ ἄλλῃ γλῶσσαν ἵῃσι κακήν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ᾽ ἐσθλός,
ὅς κ᾽ εἴπῃ γλώσσῃ λῷστα, φρονῇ δ᾽ ἕτερα.
ἀλλ᾽ εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
γιγνώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ᾽ ἐνὶ θυμῷ
φράζεο, καί ποτέ μου μνήσεαι ἐξοπίσω.

Μηδείς σ᾽ ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
Κύρνε· τί δ᾽ ἔστ᾽ ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ᾽ ἄν σ᾽ ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι.

---

84. Bekkerus *ναῦς*. *ἄγοι* A: vulgo *ἄγει*. 86. Cfr. 291. 617. 91. Iliad, *I*, 312. Solonis Scolion. 92. *δειλός* Bekkerus. *Δεινός* est *formidabilis*; Soph. Phil. 147. affert Brunckius. 93. *Ἤν* Welckerus: *ἄν* AKO. Vulgo *εἴ*. *ἐπαινήσῃ* AK: reliqui *ἐπαινήσει*, *ἐπαινέσει*. *ὁρωίης* AKO: vulgo *ὁρῴη*. 94. *ἄλλην* KO. *ἵησι* vel *ἴησι* libri plerique. 96. *φρονῇ* Al: reliqui *φρονεῖ*. 102. *δειλός* A: reliqui *κεῖνος*. 104. *τοῦ μεταδοῦναι θέλοι* A: *τοῦ μέγα δοῦν᾽ ἐθέλει* octo codices: *τοῦ μεγάλου δοῦναι θέλει* O: *δοῦναι θέλει τὸ μέγα* K. Secuti sumus Buttmannum Gramm. Max. II, 393. Vide Meinek. Euphor. fr. CV.

Δειλοὺς εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις.
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. ἢν δ᾽ ἓν ἁμάρτῃς,
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
οἱ δ᾽ ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ᾽ ἔχουσ᾽ ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

Μή ποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
ἀλλ᾽ αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.

Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Κιβδήλου δ᾽ ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν,
Κύρν᾽, οὐδ᾽ εὐλαβίης ἐστὶ περὶ πλέονος.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυδρὸς ἐών, δόλιον δ᾽ ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ᾽ ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὔτε γυναικός,
πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου·

---

105. *εὖ* A: vulgo *δ᾽ εὖ*. 108. Schaeferus: *Repete ex antecedente δρῶν quod in illo latet πάσχειν. Locus est sanissimus, quem contra nonneminis conjecturam jure tuetur Jacobsius ad Antholog. Palat. p. 765. Cf. infra v. 642.* 118. Camerarius: *Οὐδὲ περὶ πλείονος ἐστὶν οὐδὲν ἢ εὐλαβεῖσθαι καὶ φροντίζειν τῶν προὔργου.* Vide Viger. 653. 121. *λελήθῃ* A: *λελήθει* KO: vulgo *λέληθε*. 122. *ψυδρὸς* optimi libri: quidam *ψυδνός*, *ψεδνός*, unus *ψευδής*. Hesychius *ψυδρόν· ψευδές. Ψυδρά· ψευδῆ.* Ruhnken. Ep. Crit. II, 215. *ἔχῃ* A: reliqui *ἔχει*. 125. *οὐδὲ γὰρ εἰδείης* AO. *Οὔτε γυναικός* libri, h. e. *οὔτε ἀνδρὸς οὔτε γυναικός*. Legebatur *οὐδέ*. Hartung. Particc. I, 203.

οὐδέ κεν εἰκάσσαις ὥσπερ ποτ᾽ ἐς ὤνιον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ᾽ ἰδέαι.

Μήτ᾽ ἀρετὴν εὔχου Πολυπαΐδη ἔξοχος εἶναι
μήτ᾽ ἄφενος· μοῦνον δ᾽ ἀνδρὶ γένοιτο τύχη.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλεθ᾽, ὅσοις ὁσίη Κύρνε μέμηλε δίκη.

Οὐδεὶς Κύρν᾽ ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδὼς
ἐς τέλος εἴτ᾽ ἀγαθὸν γίγνεται εἴτε κακόν·
πολλάκι γὰρ δοκέων θήσειν κακὸν ἐσθλὸν ἔθηκεν,
καί τε δοκῶν θήσειν ἐσθλὸν ἔθηκε κακόν.
ουδέ τῳ ἀνθρώπων παραγίγνεται ὅσσ᾽ ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ᾽ ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Οὐδείς πω ξεῖνον Πολυπαΐδη ἐξαπατήσας
οὐδ᾽ ἱκέτην θνητῶν ἀθανάτους ἔλαθεν.

Βούλεο δ᾽ εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.

---

127. Libri *ἐς ὤριον, ἐςώριον.* Brunckius: *Tanquam si rem venum expositam spectaturus venias.* 132. Libri *ἔπλετο οἷς.* Posui Stobaei scripturam. 139. *ὅσσα θέλῃσιν* AO. 141. *σοφιζόμεθ᾽* Geelius Bibl. Crit. Nov. 1828, IV. 233. Xenophon Cyrop. I, 1. fin. *Ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδέν, ἀπὸ ποίας ἔσται αὐτοῖς τἀγαθόν.* 146. Libri *πασσάμενος.* Scholl. A. Il. *Δ*, 433. *Πάματα καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα καὶ πάσασθαι τὸ κτήσασθαι, ἐκτεινομένου τοῦ ᾱ.* De verbo *βούλομαι,* cui propter praeoptandi notionem adjungitur *ἤ*, vide Homerica apud Passovium, Apollonium Dysc. de Conjunctt. 487. Bekker., Walch. Emendd. Liv. 51.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
  πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς Κύρνε δίκαιος ἐών.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
  Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται.

Ὕβριν Κύρνε θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί,
  οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
  ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

Μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθείς
  μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε·
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
  ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

Μή ποτε Κύρν' ἀγοράσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδείς
  ἀνθρώπων ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ' ἐσθλῷ,
  οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι δειλῷ
  μοχθίζουσι, τέλος δ' ἔργμασιν οὐχ ἕπεται.

---

150. Sic A: vulgo ἡ δ' ἀρετὴ ὀλίγοις ἀνδράσι Κύρν' ἕπεται. 151. κακῶι A. Confer v. 822. 152. μηδεμίην A. Ibidem libri optimi θέμενος, θέμενον, θεμένῳ. 153. Solonis Eleg. fr. 6. De sententia Dissen. Pind. Ol. XIII, 10. 154. ἀνθρώπων AO. 155. Hesiodus Opp. 719. Stobaeus χαλεφθείς. 156. μηδὲ χρημοσύνην alii. 157. ἄλλως Stobaeus. Theognidis libri ἄλλῳ. 158. μηδὲν ἔχειν A et Stobaeus. 159. Il. *P*, 19. 161. Quidam homo Soloni haec vindicabat propter testimonium Tzetzae in Iliad. p. 144. Herm. Σόλων δὲ καὶ κατ' ἴχνος αὐτοῦ καὶ ὁ Σοφοκλῆς . . . δαίμονα φάσκει τόν, ὃς κἄνπερ πρότερον ἦν ἀτυχῶν, ὅμως εὐτυχοῦς καὶ ἀγαθοῦ τετύχηκε τέλους. Illum neque Solon neque alius quisquam mortalium δαίμονα vocabat, sed εὐδαίμονα. 163. δειλῷ A: reliqui φαύλῳ. Ad βουλῇ ἀγαθῇ Schaeferus monet χρῶνται subaudien-

Οὐδεὶς ἀνθώπων οὔτ᾽ ὄλβιος οὔτε πενιχρός,
οὔτε κακὸς νόσφιν δαίμονος οὔτ᾽ ἀγαθός.

Ἄλλ᾽ ἄλλῳ κακόν ἐστι, τὸ δ᾽ ἀτρεκὲς ὄλβιος οὐδείς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία.

Θεοῖς εὔχου, θεοῖσιν γὰρ ἔπι κράτος. οὔτοι ἄτερ θεῶν
γίγνεται ἀνθρώποις οὔτ᾽ ἀγάθ᾽ οὔτε κακά.

Ἄνδρ᾽ ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
καὶ γήρως πολιοῦ Κύρνε καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον
ῥιπτεῖν καὶ πετρέων Κύρνε κατ᾽ ἠλιβάτων.
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
οὔθ᾽ ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζησθαι χαλεπῆς Κύρνε λύσιν πενίης.

Τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρί
ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

---

dum esse. Rectius Boissonadius explicat: *οἳ σὺν βουλῇ ἀγαθῇ καὶ σὺν δαίμονι δειλῷ ἐν τῷ βίῳ μοχθίζουσι.* 165. Eurip. Heracl. 608. 167. Solon Eleg. fr. 13. 169. Welckerus *αἰνεῖ* explicabat *laudem consequitur.* Erat cui in eundem intellectum *ἀνθεῖ* substituere in mentem venit. Sana vulgata: *Quem dii honorant, eum vel qui vituperat collaudat.* 171. Sic Bekkerus conjecit. Vulgo *οἷς ἐστὶ μ. κρ.*, A *θεοῖσιν ἔπι* omisso v. *μέγα* cum codd. KO. Ibidem *οὔτοι* A: legebatur *οὔτι.* 173. *μάλιστα δάμνησι* et *μᾶλλον γήρως.* Vide v. 274. et Schaeferum ad Dionys. C. V. 283. 175. Sic A: reliqui *μεγακήτεα.* Vide Buttm. Lexil. II, 96. Monet Bekkerus propter vocem *ἠλιβάτων* praelatum esse *βαθυκήτεα.* 176. *ῥίπτειν* G. *καθ᾽ ἠλιβάτων* A. 178. *οὔθ᾽ ἔρξαι* AG: reliqui *οὔτ᾽ ἔρξαι.* 180. *δίζησθαι* A: vulgo *δίζεσθαι.* Vide Lobeck. Ajac. p. 180. Ad sententiam cfr. Hor. Epp. I, 1, 46. 181. *τεθνάμεναι* A: reliqui *τεθνάναι, τεθνᾶναι.*

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα Κύρνε καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.

Χρήματα μὲν τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν
καὶ κακὸς ἐξ ἀγαθοῦ. πλοῦτος ἔμιξε γένος.
οὕτω μὴ θαύμαζε γένος Πολυπαΐδη ἀστῶν
μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.

Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
ἐντύει, ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρήματα δ' ᾧ Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.
εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
κτήσεται, εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτήν
αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.

---

185. *Βήθεσθαι* BFMQ: *βίνεσθαι* margo Q: unus codex *βήσασθαι*: *ἐξ ἀγαθοῦ κτήσασθαι* Xenophon citat. Nobis *βήσεσθαι* non futurum, sed aoristus est, v. Buttm. Gr. Max. I, 418. Futuri infinitivum cum *βούλεσθαι* aliisque verbis similibus junctum illustrat Schaeferus h. l. Camerarius: *πᾶς τις ἐθέλει ἐπιβήσεσθαι ἀγαθοὺς τῶν ἀῤῥένων (ἐξ ἀγαθῶν ὄντας) ταῖς αὐτοῦ θήλεσι.* In A suprascriptum *ascendi.* Explica: *Quivis vult ex generosissimis animalibus apud se admissuram fieri.* Plutarchus Lycurg. XV. *Κύνας μὲν καὶ ἵππους ὑπὸ τοῖς κρατίστοις τῶν ὀχείων βιβάζουσι.* *Οὐ μελεδαίνει non curat, non detrectat.*
193. *οὗτός τοι ταύτην* Geelius suspicatur. 196. *ἀνάγκη μιν ἐντύει* illustrat Dissen. Pind. Ol. III, 28. 197 sqq. Confer Solonis Eleg. 11, 7 sqq. Iliad. *Z*, 160 sqq. *Χρῆμα δ' ὁ μέν* A: *χρήμαθ' ᾧ* O: *χρήματα ᾧ* R: hinc Lachmannus *χρήμαθ' ὅτῳ.*
198. Pind. Nem. VIII, 28. *σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος.*

ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἔτ' αὐτούς
τίνονται μάκαρες πρήγματος ἀμπλακίας,
ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος, οὐδὲ φίλοισιν
ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδής
πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
τῆς δὲ φυγῆς ἐστὶν τοῦτ' ἀνιηρότερον.

Οἶνόν τοι πίνειν πουλὺν κακόν. ἢν δέ τις αὐτόν
πίνῃ ἐπισταμένως, οὐ κακὸς ἀλλ' ἀγαθός.

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει.

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

---

203 sq. ἀμπλακίας ABO: reliqui ἀμπλακίης. Aliquot codd. οὐ γὰρ ἐπ' αὐτούς, unus ex corr. αὐτῶν. Geelius οὐ γὰρ ἑκάστου — ἀμπλακίας; Brunckius ἐπ' αὐτοῖς τίνονται μάκαρες πρήγμασιν ἀμπλακίας; Jacobsius οὐ γὰρ ἐπ' αὐτοῦ probabiliter: *non in ipso facinore Dii puniunt maleficos.* Welckerus πρῆγμα ἀμπλακίης intelligit per periphrasin *pravum facinus*, ut κακότητος ἀνάγκαι, πείρατ' ἀμηχανίης. Τίνονται αὐτοὺς πρ. ἀμπλ. dictum existimat ut Il. Γ, 366. τίσασθαι Ἀλέξανδρον κακότητος. Hermannus sic fere legendum censebat: οὐ γὰρ ἐπ' αὐτῆς τίνυνται (quae est v. l. apud Camerarium) μάκαρες πρήγματ' ἴσ' ἀμπλακίης. Nobis placebat οὐ γὰρ ἔτ' αὔτως. Aperta interpolatio est cod. G: γίνονται μάκαρες πράκτορες (hoc quidem in marg.) ἀμπλακίης. 206. οὐδὲ φίλ. AKO: vulgo ὃς δέ. Confer Solonis Eleg. 11, 25 sqq. 210. A altero loco — bis enim apponit hic et post v. 332 — ἀνιηρότατον. 214. Confer v. 312. 215. Poeta epicus, quem Thebaidis cyclicae auctorem esse conjiciunt, apud Athen. VII, 417, A.

Πουλύποδός μοι, τέκνον, ἔχων νόον Ἀμφίλοχ' ἥρως,
τοῖσιν ἐφαρμόζου, τῶν κεν κατὰ δῆμον ἵκηαι.

Adde Pindari fr. 173. Boeckh. Polypus enim *colorem mutat ad similitudinem loci et maxime in metu*, Plinius H. N. IX, 49.

216. προσομιλήσῃ G: reliqui προσομιλήσει.

νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίγνου·
κρεῖσσόν τοι σοφίη γίγνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,
Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδόν, ὥσπερ ἐγώ.

Ὅστις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδίῃσιν ἕπεσθαι,
τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι νόον,
διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
χρήματά τοι θνητοῖς γίγνεται ἀφροσύνη.
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται, ἣν ὁπότε Ζεύς
πέμψῃ τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ
Κύρν' ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

Οὐδὲν ἐπιπρέπει ἧμιν ἅτ' ἀνδράσι σωζομένοισιν,
ἀλλ' ὡς πάγχυ πόλει Κύρνε ἁλωσομένῃ.

Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
πωτήσῃ κατὰ γῆν πᾶσαν ἀειρόμενος

---

218. *κρεῖττον γρ.* L: *κρέσσων* A. Vulgo *κραιπνόν.* 220. Cfr. v. 331. 221. Soph. Antig. 607 sqq. 224. *ἴσως* pariter, v. 271. Heindorf. Plat. Gorg. 230. 227—231. Vide Solonis Eleg. fr. 11, 71 sqq. 228. Solon *βίον.* 232. *πέμψῃ* AO: reliqui *πέμψει.* 235. *Οὐδὲν ἐπιτρέπει ἡμῖν* A: *οὐδ' ἔτι γε πρέπει ἡμῖν* alii plures: *οὐδέ τι πρέπει ἡμῖν* (*ὑμῖν* KO) ELKO. Ab initio fuisse videtur: *οὐδ' ἔτ' ἐπιπρέπει ἧμιν.* 236. Sic A: plerique corrupte *ἀλύειν κύρν' ὡς πόλε' ἁλωσομένη.* 237. Confer Tibull. I, 4, 65. Pind. Pyth. VIII, 32. Mitscherlich. Horat. T. II, 675. Vide Prooem. nostrum p. 47. 238. *καὶ γῆν* Bergkius in Zimmermanni Diar. Philoll. 1837, 53. p. 455 sq. *ἀειράμενος* KO.

ῥηϊδίως, θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
  ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν.
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
  εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται. καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
  βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
οὐδέ ποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
  ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους,
  ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
  ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.
πᾶσι γὰρ οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδή,
  ᾄσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς,
  ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·
  πρᾶγμα δὲ τερπνότατον τοῦ τις ἐρᾶτο τυχεῖν.

Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη, ἀλλὰ κάκιστον
  ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον.

---

240. Jacobs. Anth. Gr. VI, 327. 242. εὐκόσμω F: ἐν κόσμω CG: Brunckius conj. *ἐν κώμοις*. 243. δνοφερῆς recepi ex AKO: vulgo δνοφεροῖς. Vide Hesiod. Theog. 234. 736. 806. κεύθεσι A: κευθμῶσι KO: vulgo κεύθμασι. 245. οὐδὲ τότ' Bergkius. ἀλλὰ μελήσεις A: vulgo οὐδέ γε λήσεις. 251. γάρ] Διός A. Lachmannus πᾶσι δ' ὅσοισι. Omittunt KO. 252. ᾄσῃ ὁμῶς ὄφρ' ἂν ᾖ Bergkius: vulgo ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ κτλ. Ego ᾖ repudio: v. 859. 864. Homer. Il. *Ο*, 376. 253. 54. Welckerus diremit prorsus a praegressis, apud ipsum v. 1125 sq. Bernhardy Hist. Litt. Grr. I, 112. haec omnia a v. 237 sqq. *aperte interpolata esse* pronunciat. Quod quid sit nec intelligo et pervelim explicet apertius vir doctus. 256. πρᾶγμα libri plerique omnes: πρῆγμα vulgo. τοῦ AO: vulgo οὗ. ἐρᾶτο τυχεῖν A: ἐρᾷ τὸ τυχεῖν octo libri. Vide Hermann. Orph. 764. Ad sententiam cfr. Simonidis Scol. fr. XLII. 257 sqq. De puella loquitur poeta, ut Anacreon fr. LXXIX, 1. Πῶλε Θρηκίη.

πολλάκι δ' ἠμέλλησα διαῤῥήξασα χαλινόν
φεύγειν, ὠσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.
ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες,
*ὥσθ' ἅμα θ' ὑδρεύει καί με γοῶσα * φέρει.*
ἔνθα μέσην περὶ παῖδα βαλὼν ἀγκῶν' ἐφίλησα
δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.

Γνωτή τοι πενίη γε καὶ ἀλλοτρίη περ ἐοῦσα·
οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντῃ γὰρ τοὔλασσον ἔχει, πάντῃ δ' ἐπίμυκτος,
πάντῃ δ' ἐχθρὴ ὁμῶς γίγνεται, ἔνθα περ ᾖ.

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,

---

260. *ἀπωσαμένη* AKO. 261 sqq. Camerarius: *Λέγει ὅτι ὥσπερ εἰς λιμένα τινά, οὕτω παρὰ τὴν ἐρωμένην κατέσχεν ἄλλος τις ἐραστὴς ἑαυτοῦ κακίων· αὐτὸς δὲ τῇ ὑδροφορούσῃ παιδίσκῃ συχνῶς ἐντυχὼν ἐνηγκαλίσατό τε καὶ ἐφίλησεν αὐτήν· ἐκείνη δὲ φέρουσα τὸ ὕδωρ ἅμα ἔφερε τοῦ ἐραστοῦ τὸν ἀσπασμὸν καὶ περιπτυγμόν.* Locus obscurior et qui ex laceris distichis importune colligatus videtur. Welckerus vv. 261. 62. dispescuit. Hermannus *ἐπεὶ οὐ παρὰ π. τερ.* et v. 264. *γοῶσα θέρει* (*φλέγει* Goellerus, *φιλεῖ* margo G.). *Haec enim sententia est dulcissimi carminis, ut neget poeta vinum se bibere quo careat puella: quam ut videt aquantem, miseratione et amore tactus amplectitur maerentem et favorabile fert responsum. Versus 262. parenthetice positus est.* Bekkerus. Brunckius suspicatur *ἡ δέ θ' ἅμ' ὑδρεύει, καί με γοῶσα καλεῖ. Illa vero simul atque it aquatum, gemens me vocat.* Poeta dicere videtur, invitae puellae alium obtrusum fuisse amatorem vel potius maritum (263. *παρὰ τῇδε*), secum autem clam quum aquatum isset convenisse et inter suspiria amplexatam. Quanquam verba obscura sunt. Num *οἷς θ' ἅμα θ' ὑδρεύει?* 265. *περί* A: vulgo *παρά*. *βαλὼν* Hermannus: libri *λαβών*. 266. *ἀπὸ στόματος* Dissen. Pind. Ol. VI, 13. 267. *πενίη τε καί* A: vulgo *πενίη καί*. Emendavit Bekkerus. 269. Sic A, suprascr. *obscura: ἐπίμικτον* KO. Vulgo *ἐπίμικτος*. Bekkerus explicat *ἡ ἐπιμύζουσα*. Recte vero Camerarius: *νοητέον τὸ ἐπιμώμητον τῆς πενίας καὶ ὅτι μυκτηρίζονται ὑπ' ἄλλων οἱ πένητες.* 270. *ἐχθρή* A: reliqui *ἐχθρά*.

γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.
τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
καὶ πασέων νούσων ἐστὶ πονηρότατον,
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις,
χρήματα δ' ἐγκαταθῇς πόλλ' ἀνιηρὰ παθών,
τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
καὶ στυγέουσ' ὥσπερ πτωχὸν ἐσερχόμενον.

Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
μηδεμίαν κατόπισθ' ἁζόμενον νέμεσιν.
δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
πὰρ ποδός, ἡγεῖσθαί θ' ὡς καλὰ πάντα τιθεῖ.

Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε,
μήθ' ὅρκῳ πίσυνος μήτε φιλημοσύνῃ,
μηδ' εἰ Ζῆν' ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον
ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.

Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν·
** ὡς δὲ τὸ σῶσαι οἱ πολλοὶ ἀνολβότεροι.*

---

274. Superlativum, cui comparativi vis inhaeret, illustrant Hermannus Viger. 718. Wex. Soph. Antig. 102. Goeller. Thuc. I, 1. Walch. Tacit. Agr. 34. Cfr. v. 174. 275. *θρέψαιο — παράσχοις — ἐγκαταθῇς.* Vide Hermann. Viger. 903. Nitzsch. Homer. Odyss. *Γ*, 77. Bernhardy Synt. 401. 277. Anacoluthia: debebat *εἰ τὸν πατέρα ἐχθαίρουσι.* 278. *ἐςερχόμενον* A: reliqui *ἐπερχόμενον.* 280. *κατόπισθ'* A: vulgo *κατόπιν.* 281. *ἀνελέσθαι πολλὰ ἀπάλαμνα πὰρ ποδός* Welckerus explicat *scelerata multa temere* (von der Faust weg) *suscipere*, ut dicitur *πόλεμον, ἔργον ἀνελέσθαι.* 283. *πόδα τίνδε πρόβαινε,* v. Wunderum de Lobeckii Ajac. 16 sqq. Hermannus *τῶνδε.* 284. *συνημοσύνῃ* CG. 285. *ἐθέλῃ* A: vulgo *ἐθέλει.* Optativum praeferunt Jacobsius et Hermannus. Brunckius: *μηδ' εἰ Ζῆν' αὐτὸν παρέχοις.* 286. De participio *ἐθέλων* post *ἐθέλῃ* illato v. Lobeck. Ajac. 765. Seidler. de Verss. Dochm. 271. 416. Porson. Eur. Hec. 605. 6. Valcken. Phoen. 550. 287. *καλοψόγῳ* conj. Boissonadius. 288. Sic Bekkerus ex codicibus: sed A *ὡσδετοσωσαιεὶ π.*, *ὥστε τό* Palatinus. Hermannus *ὡς δέ τις (ἁνδάνει), ὡς ἀΐει πολλὸν ἀνολβότερος*, *ut quisque placet, ita stolidior multo audit ceteris civibus.* Welckerus *ὥσθ' οἱ σῶες ἀεὶ*

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίγνεται ἐσθλὰ κακοῖσιν
ἀνδρῶν· ἡγέονται δ' ἐκτραπέλοισι νόμοις.
αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις
νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
φθεγγόμενος δ' ἀδαής, οἷσι παρῇ, μέλεται.
ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Οὐδ' ἐθέλει φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
οὐδ' ᾗν ἐκ γαστρὸς Κύρνε μιᾶς γεγόνῃ.

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνής
λάτρισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον ἀλλ' ἀτρεμίζειν,
τὸν δὲ κακὸν κινεῖν, ἔστ' ἂν ἐς ὀρθὰ βάλῃς.

Οἱ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν,
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

π. ἀν., quod placet Geelio. Qua ratione probata praestabilius foret *ὥσθ' οἱ σῶς αἰεί*, v. de forma *σῶς* Matth. Gr. §. 124. Boissonadius *ἐς δὲ τὸ σῶσ' αἰεὶ πολλ. ἀνολβ.* 290. Sic A (*ἀνδρωῆγεονται*): vulgo *ἀνδρῶν γίνονται* et *νόμος*. 296. Brunckius ingeniose *ἀαδής — πέλεται.* Welckerus comparat Il. *K*, 51. 297. *ἀνιηρή* Pierson. Verisimm. 55. Scilicet *πᾶν ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.* 299. *Οὐδεὶς δὴ φίλος εἶναι* A: Geelius *οὐδεὶς φῇ φ. εἶναι.* An *Οὐδεὶς δὴ φίλος αἰεί*? 300. *οὐδ' ὠκ' ἐκ* A: voluit aut *ᾧ κ' ἐκ*, ut Bekkero visum, aut *εἴ κ' ἐκ*: utrumque *κακόφωνον.* 301. *ἁρπαλέος* revocavi ex A: vulgo *ἀργαλέος.* 304. Bekkerus cum libris *λάβῃς.* Retinui vulgatum. 305. A *τοὶ κακοὶ οὐ πάντες.*

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἶναι,
πάντα δέ μιν λήθειν ὥς ἀπεόντα δοκεῖ.
εἰς δὲ φέροι τὰ γελοῖα, θύρηφι δὲ καρτερὸς εἴη,
γιγνώσκων ὀργὴν ἥντιν᾽ ἕκαστος ἔχει.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ᾽ ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ᾽ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν᾽, ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ᾽ ἔν τε κακοῖς κείμενος ἔν τ᾽ ἀγαθοῖς·
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

Μή ποτ᾽ ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ᾽ ἀπολέσσαι,
πειθόμενος χαλεπῇ Κύρνε διαβολίῃ.
εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο,
οὔποτ᾽ ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε· θεοὶ δ᾽ οὐκ ἐθέλουσι φέρειν.

---

309. *εἶναι* A: reliqui *ἴσθι*. 310. Codices *δόκει*: Geelius et Boissonadius *δοκοῖ*. Vulgatum erit i. q. *δόκιμον φαίνεται, ἀρέσκει*. 311. *φέροι τὸ* A: *φέρει τὰ* BFM: *φέρειν τά* CG. *εἴη* AO: vulgo *εἴης*. *Εἰςφέροι* poeta dixit ad symbolas respiciens in coenis collaticiis consuetas. *Καρτερὸς εἴη*, sc. *αὑτοῦ*, compescat linguam, ne dicta *γελοῖα* foras eliminet, cfr. v. 480. Valckenar. Theocr. Adoniaz. 386, C. 313. *Dulce est desipere in loco.* Horatius. Cfr. Scolion 19. 314. *δικαιότατος*, *der Frömmste*, v. Solonem in not. Eleg. 7. 315 sqq. Solonis Eleg. fr. 15. 318. A *ἄλλοτέ τ᾽ ἄλλος*. 320. Multi codices cum Stobaeo *ἔν τ᾽ ἀγαθοῖς κείμενος ἔν τε κακοῖς*. Vide v. 443. 321. *ὀπάσσῃ* A: reliqui *ὀπάσσει*. 323. *ἀπολέσσαι* A: reliqui *ἀπολέσσῃς*. 324. *διᾱβολίῃ*, v. Boeckh. Nott. Critt. Pind. Pyth. II, 76. 327. *ἐν ἀνθρώποισι πέλονται* Ruhnken. Rutil. Lup. 115., sed v. Bernhardy Synt. 97. Welckerus: *Deos quidem*

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσίν,
μηδ' ἑτέροισι διδοὺς Κύρνε τὰ τῶν ἑτέρων.

Μή ποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι Κύρνε φιλήσῃς·
οὐδὲ γὰρ οἴκαδε βὰς γίγνεται αὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα. καὶ οὕτως
Κύρν' ἕξεις ἀρετήν, ἥντε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσιν,
τῶν τ' ἐχθρῶν μεῖζον Κύρνε δυνησόμενον.
χοὔτως ἂν δοκέοιμι μετ' ἀνθρώπων θεὸς εἶναι,
εἴ μ' ἀποτισάμενον μοῖρα κίχῃ θανάτου.

Ἀλλὰ Ζεῦ τέλεσόν μοι Ὀλύμπιε καίριον εὐχήν,
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ', εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίης δ' ἀντ' ἀνιῶν ἀνίας.
αἶσα γὰρ οὕτως ἐστί. τίσις δ' οὐ φαίνεται ἡμῖν
ἀνδρῶν οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ

---

ait non ferre hominum peccata, sed punire; nos autem ferre debere, quum vindices eorum non simus constituti. 329. Hermannus Orph. 765. *καὶ βραδύς, εὔβουλος δ', εἷλεν*: Jacobsius *βραδὺς ὢν εὔβουλος ἕλεν* conjiciunt. Et *ἕλεν* codex N. 330. *ἰθείῃ* K: reliqui *εὐθείῃ*. 333. Non jungendum *φεύγοντ' ἐπ' ἐλπίδι* cum Welckero, sed *φιλήσῃς ἐπ' ἐλπίδι*. 334. *ὡὐτός* Brunckius. Vide Hermann. Opuscc. I, 332 sqq. 335. Hesiod. Opp. 696. Phocylidis fr. 8. 337. *θείῃ* Jacobsius suspicatur, Schaeferus *δυνησομένῳ*, Boissonadius *δυνησομένων*, Geelius *Κύρν' ὀδυνησομένων inimicorum vindictam, qui magis dolebunt.* Sana vero vulgata: *Jupiter faxit, ut plus possim inimicis.* Structura similis Plat. Symp. 188, D. *οὗτος πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένους ὁμιλεῖν.* 339. *μετ' ἀνθρώποις* Brunckius. 341. *Ἀλλά* in precationibus illustrat Hartung. Particc. II, 35 sq., v. Xenoph. Cyrop. V, 4, 14. 344. Sic Turnebus: libri *δοίην δ', δοίην τ', δοίη τ'*.

συλήσαντες. ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
χειμάῤῥῳ ποταμῷ πάντ' ἀποσεισάμενος.
τῶν εἴη μέλαν αἷμα πιεῖν, ἐπί τ' ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε.

Ἆ δειλὴ πενίη, τί μένεις προλιποῦσα παρ' ἄλλον
ἄνδρ' ἰέναι; μὴ δή μ' οὐκ ἐθέλοντα φίλει,
ἀλλ' ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ' ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα Κύρνε κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν.
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖτις
ἐκδῦναι πειρῶ θεοῖσιν ἐπευχόμενος.

Μηδὲ λίην ἐπίφαινε. κακὸν δέ τι Κύρν' ἐπιφαίνειν.
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
Κύρν'· ἀποτινυμένου δ' αὔξεται ἐξοπίσω.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ' ὑποχείριος ἔλθῃ,
τῖσαί νιν πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

---

347. Camerarius: *Παροιμιωδῶς μόλις, φησί, τὸν χειμάῤῥουν διενηξάμην ὥσπερ κύων, πάντ' ἀποβαλὼν ἅπερ εἶχον.* 349. Il. *Δ*, 35. *Χ*, 346. *Ω*, 212. *ὄροιτο* A: vulgo *ἄροιτο.* 351. Geelius *τί μένεις; πρ. πὰρ ἄλλον ἄνδρ' ἰέναι.* 352. *ἰέναι μ' ην' δὴν οὐκ* A: *τί δή μ' οὐκ* KO: *τί δὲ δή μ' οὐκ* vulgo. Tum *φιλεῖ* A accentu recens addito: vulgo *φιλεῖς.* Emendarunt Bekkerus et Geelius. 359. *δέ τε* A: eximie Geelius *Μηδ' ἀνίην ἐπίφαινε.* Brunckius *ἐπιφαίνων.* Sententiae comes Pindar. fr. 171. Boeckh. 361. Homer. Odyss. *Υ*, 360. 365. *ἴσχι νόωι γλώσσης* A: idem codex *ἐπέστω*: vulgo *ἑπέσθω.* Voluitne *ἰσχινόῳ γλώσσῃ δὲ τὸ μ.?* Confer *ἐχέθυμος, ἐχέμυθος*, alia.

Ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον, ὅντιν' ἔχουσιν·
οὔτε γὰρ εὖ ἕρδων ἁνδάνω οὔτε κακῶς.

Μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἅμαξαν ἔλαυνε,
εἰς φιλότητα λίην Κύρνε προσελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε. σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ Κρονίδη τολμᾷ νόος ἄνδρας ἀλιτρούς
ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;
οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
οὐδ' ὁδὸν ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν
ἔργων ἴσχονται θυμόν, ὅμως πενίην
μητέρ' ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες,
ἥτ' ἀνδρῶν παράγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·

---

367. *ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον* AO post 1182, K post 1186. quod cum Brunckio praefert Hermann. Orph. 729. Legebatur *Οὐ δ. γνῶναι νόον ἀ. ὅντιν' ἔχουσιν.* 369. Notum illud *Μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται* Diogenian. Provv. VI, 74. 371. 72. Welckero inter Parodias est. 379. *τρεφθῇ* Camerarius: libri *τερφθῇ.* 381 sq. Welckerus prioribus adjunxit: vulgo per se constant. *κεκριμένον*, Dissen. Pind. Ol. II, 30. *ὁδόν* A et sex alii codices. *τις* AOL: vulgo *τιν'.* 384. *ἴσχοντες* A: *ἴσχωνται* quinque libri. *πενίην* AK: vulgo *πενίης.* 386. *παράγει* A: vulgo *προάγει*, v. 404. *Πενίην μητέρ' ἀμηχανίης*, v. Alcaei fr. LXV. *Ἀργαλέον πενία κακόν, ἄσχετον, ἃ μέγαν Δάμνη λαὸν ἀμαχανίᾳ σὺν ἀδελφεᾷ.* Herodot. VIII, 111. Blomfield. Aesch. Sept. 343.

τολμᾷ δ᾽ οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
ψεύδεά τ᾽ ἐξαπάτας τ᾽ οὐλομένας τ᾽ ἔριδας,
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

Ἐν πενίῃ δ᾽ ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ᾽ ἂν δὴ χρημοσύνη κατέχῃ.
τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ νόος, οὗτέ περ αἰεὶ
ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύῃ·
τοῦ δ᾽ αὖτ᾽ οὔτε κακοῖς ἕπεται νόος οὔτ᾽ ἀγαθοῖσιν.
τὸν δ᾽ ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ᾽ ὀλεσήνορας ὅρκους
Ἐντρέπε᾽, ἀθανάτων μῆνιν ἀλευάμενος.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ᾽ ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων. πολλάκι δ᾽ εἰς ἀρετήν
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων ἐς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦτ᾽ ἀγάθ᾽ εἶναι
εὐμαρέως, ἃ δ᾽ ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν ἥμαρτες. ἐγὼ δέ σοι αἴτιος οὐδέν,
ἀλλ᾽ αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥτ᾽ ἀγαθοῖς ἀνδράσι Κύρν᾽ ἕπεται.

---

388. τολμᾷ, is cujus φρένας ἔβλαψε πενίη. 395. Sic A: vulgo τ᾽ ἄδικα φρονέει νόος οὐδέ οἱ (multi libri οὔτε οἱ) αἰεί. 396. ἐμπεφύιη A: Brunckius ἐμπέφυεν. 398. τὰ δὲ καὶ τά AO: vide Pindar. Isthm. III, 51. IV, 58. 400. Vulgo ἔντρεπε δ᾽: A ἐντράπελ᾽, unde Bekkerus εὐτράπελ᾽ elicuit. Welckerus cum Brunckio ἐντρέπε᾽, ut genitivus ἀθανάτων imperativo et nomini μῆνιν communis esset. Nos cum Geelio comma post v. ὅρκους sustulimus, quo ἐντρέπεο cum infinitivis jungatur. ἀλευάμενον A. 407. σοι A: vulgo τοι. 408. ἔτυχες] ειαμείνω A ad v. 409. exitum aberrans.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος
  ᾧ γνώμη θ' ἕπεται Κύρνε καὶ ᾧ δύναμις.

Πίνων δ' οὐχ οὕτω θωρήξομαι, οὐδέ με οἶνος
  ἐξάγει, ὥστ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.

Οὐδέν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
  πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ
  χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
  σιγῶ, γιγνώσκων ἡμετέρην δύναμιν.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
  ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
  ἐσθλὸν δ' ἐξελθὸν λώϊον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
  μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,

---

411. *οὐδενὸς — δοκεῖ* A: vulgo *μηδενὸς δόκει*. Homer. Odyss. Θ, 585. 413. *μετ' οἶνος* A: *μέ γ' οἶνος* KO. 418. *λόγος* A: vulgo *νόος*. Comparatio frequentissima, v. 450. Simonidis fr. inc. 105. Pind. Pyth. X, 67. ibique Dissen., Bacchylid. fr. 20. Herodot. VII, 10. Camerarius, qui *νόος* habuit, sic interpretatur: *Ὅσον διαφέρει τριβόμενος ὁ χρυσὸς παρὰ μολύβδῳ τῇ χροίᾳ, τόσον ἐγὼ ὑπερέχω τῶν φίλων εἶναι φασκόντων· ἀεί τε ἡμῖν ὑπέρτερος, ἤγουν ἀκεραιότερος καὶ βελτίων νοῦς ἔνι· ἡ γὰρ ὑπερτερίη ἐνταῦθά γε οὐδὲν ἂν ἄλλο εἴη, ἤπερ ὑπεροχή*. 419. Vide v. 669. 421. *ἀνθρώπων* AKO et Stobaeus: reliqui *ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται*. Confer Soph. Phil. 188. *ἀθυρόστομος*. Eur. Or. 901. *ἀθυρόγλωττος*. Arist. Rann. 838. *ἀπύλωτον στόμα*. 422. Geelius *πολλὰ λάλητα μέλει* et *multa quae incogitate locuti sunt, eis curam creant*. Namque Stobaeus *πόλλ' ἀλάλητα πέλει*. 424. *ἐξελθὼν* ACH. 425. Confer ejusdem sententiae auctores Bacchylidem fr. 3. Soph. O. C. 1225. aliosque apud Lobeck. Aglaoph. 802. Theognidi fortasse reddendum *πάντως*: *ἀρχὴν* enim scribunt Sextus Empiricus, Stobaeus aliique.

φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ὅστις σώφρον' ἔθηκε τὸν ἄφρονα κὰκ κακοῦ ἐσθλόν.
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.

Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν. ἀλλὰ διδάσκων
οὔποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

Νήπιος ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσιν,
*τὸν δ' αὐτοῦ ἴδιον * οὐδὲν ἐπιστρέφεται.*

Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος. ἀλλ' ὁ μὲν ἐσθλὸς
τολμᾷ ἔχων τὸ κακόν, κοὐκ ἐπίδηλος ὅμως·
δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσιν
θυμὸν ὁμῶς μίσγειν. ἀθανάτων δὲ δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχοντ'. ἀλλ' ἐπιτολμᾶν
χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν.

---

428. Brunckius cum Sexto Emp. *γαῖαν ἐφεσσάμενον.* Vide Valckenar. Herod. VIII, 24. Hesychius *Ἐπιέσσασθαι γῆν· ταφῆναι.* ubi v. Hemsterhusium. 431. *κὰκ κακοῦ* K: *κάκοῦ* A: *καὶ κακοῦ* septem libri. Vulgo *καὶ κακόν.* 435. *ἔνθετον,* Lobeck. Paralipp. Gr. Gr. 476. 438. *ποιήσει* A. 440. *τῶν* AO: Jacobsius *τῶν αὐτοῦ ἰδίων:* alius V. D. *τῶν δ' αὖτ' οἰκιδίων;* nam *κίδιον* AKO, *αὑτοῦ* sex libri. 441. *γάρ* A: vulgo *τοι.* Infra post 1162. omnes *γάρ. Πάντα πανόλβιος,* cfr. Aesch. Pers. 726. 442. *ἔχων* AO: reliqui *ἔχειν.* 443. Sic hic A, ut infra omnes: h. l. reliqui *οὔτε κακοῖσιν ἐπ. οὔτ' ἀγαθοῖσιν.* Vide 320. 444. *ἔχων μίμνειν* h. l. omnes: quod repositum est, infra. *τε* ABDFMN et infra omnes.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς
οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ὦνθρωπ', εἰ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνοίης
καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένου,
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν
οὕτως ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι ἔχουσιν· ἀποῤῥήξασα δὲ δεσμά
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μήποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα
χρήμασι τῶν ἄνυσις γίγνεται οὐδεμία.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔτε τι δειλόν
οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω,
μηδέ σε νικάτω κέρδος, ὅτ' αἰσχρὸν ἔῃ.

Μηδένα μήτ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
μήτε θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι·

---

450. Cfr. 417. 451. Cfr. Dissen. ad Pind. frgm. p. 672. 457. *σύμφορον* Athen. XIII, 560, A. Libri *σύμφρον ἔνεστι, σύμφρονον ἔνεστι, σύμφρον ἐστι, σύμφρων ἔνεστι.* Eustathius *σύμφορος.* 464. *ἔπι* A, ut conjecerat Brunckius: reliqui *ἔχει.* *Gloriam habet rem arduam perfecisse.* 466. *ἔῃ* A: vulgo *ἔοι.* Ad sententiam cfr. Hesiod. Opp. 354. 467 sqq. Eueno Pario haec tribuunt propter testimonium Aristotelis Eth. Eud. II, 7. Metaph. IV, 5. et Plutarchi Morall. II, 1102, B. qui tertii versus auctorem poetam illum perhibent. Adde Arist. Rhet. I, 11. *Παρὰ φύσιν ἡ βία· διὸ αἱ ἀνάγκαι λυπηρόν· καὶ ὀρθῶς εἴρηται Πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.* 467. 68. *μήτ' — μήτε* Athenaeus VIII, 364, C. Theognidis libri *μηδένα*

μήθ᾽ εὕδοντ᾽ ἐπέγειρε Σιμωνίδη ὅντιν᾽ ἂν ἡμῶν
  θωρηχθέντ᾽ οἴνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μήτε τὸν ἀγρυπνέοντα κέλευ᾽ ἀέκοντα καθεύδειν·
  πᾶν γὰρ ἀναγκαῖον χρῆμ᾽ ἀνιηρὸν ἔφυ.
τῷ πίνειν δ᾽ ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
  οὐ πάσας νύκτας γίγνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
  ὕπνου λυσικάκου μνήσομαι οἴκαδ᾽ ἰών,
δείξω δ᾽ ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
  οὔτε τι γὰρ νήφω οὔτε λίην μεθύω.
ὃς δ᾽ ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
  τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου,
μυθεῖται δ᾽ ἀπάλαμνα, τὰ νήφοσι γίγνεται αἰσχρά·
  αἰδεῖται δ᾽ ἔρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
  γιγνώσκων μὴ πῖν᾽ οἶνον ὑπερβολάδην,
ἀλλ᾽ ἢ πρὶν μεθύειν ὑπανίστασο — μή σε βιάσθω
  γαστὴρ ὥστε κακὸν λάτριν ἐφημέριον —,
ἢ παρεὼν μὴ πῖνε. σὺ δ᾽ ἔγχεε τοῦτο μάταιον
  κωτίλλεις αἰεί· τοὔνεκά τοι μεθύεις.
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
  τὴν δὲ θεοῖς σπένδεις, τὴν δ᾽ ἐπὶ χειρὸς ἔχεις.

τῶνδ᾽ et μηδέ. Ad sententiam simile illud Odyss. *Π*, 72 sq. 469. μήθ᾽ A: reliqui μηδ᾽. Ibidem ὅντινα ἡμῶν omnes praeter AK. 470. Ex erroribus librorum θωριχθέντ᾽, θωρυχθέντ᾽ Hermannus in Zimmermann. Diar. Philoll. 1837. p. 325. exsculpebat θωμιχθέντ᾽. Sed cfr. 841 sq. 508. 884. ἕλῃ A: reliqui ἕλοι. 473. οἰνοχοείτω, scil. ὁ οἰνοχόος, ὁ παῖς. 476. λησικάκου N. Hoc distichon segregavit Welckerus. 477—492 per se posuit Welckerus. 477. δείξω CG: reliqui ἥξω. 478. Athenaeus: οὔτε τι νήφων εἶμ᾽ οὔτε λίαν μεθύων. 480. Cfr. v. 271. 481. Sic A cum codd. Stobaei et Athenaei B: vulgo νήφουσ᾽ εἴδεται, v. 627. 483. τότε A: οὔτε CG: vulgo ὅτε: Athenaeus σώφρων τε καὶ ἤπιος. 485. πρὶν μεθύειν δ᾽ ἄρξῃ γ᾽ ἀπανίστασο Athenaeus. 487. Ἔγχεε τοῦτο intellige celebratum illud in compotationibus ἔγχεε. Scol. 23. ἔγχεε δὴ κώθωνι. Alcaeus fr. XXXI, 4. ἔγχεε κίρναις ἕνα καὶ δύο. Theocrit. XIV, 18.

αἰνεῖσθαι δ' οὐκ οἶδας. ἀνίκητος δέ τοι οὗτος,
  ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.

Ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
  ἀλλήλων ἔριδας δὴν ἀπερυκόμενοι,
ἐς τὸ μέσον φωνεῦντες, ὁμῶς ἑνὶ καὶ συνάπασιν·
  χοὔτως συμπόσιον γίγνεται οὐκ ἄχαρι.

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δή
  πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
  γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
*καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον * ἤρατο πίνων,*
  ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

Οἰνοβαρέω κεφαλὴν Ὀνομάκριτε, καί με βιᾶται
  οἶνος, ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει. ἀλλ' ἄγ' ἀναστάς

---

491. *αἰνεῖσθαι* A, *contentus esse.* Reliqui *ἀρνεῖσθαι.* 492. *πολλὰς* intellige *κύλικας.* A *πολλὸν* teste Bekkero in editione priore. Versus 487—492. ab Athenaeo et Stobaeo praetermissos Welckerus repetit ab interpolatore, immemore illo et legis in Graecorum conviviis sancitae *ἢ πῖθι ἢ ἄπιθι* (Cic. Tuscc. Dispp. V, 40.) et eorum quae in eandem sententiam dicuntur infra v. 627 sqq. Ipsumque illum poculis certandi morem a Doriensibus alienum fuisse, v. Mueller. Dorr. II, 276 sqq. Ceterum de consuetudine ista Graecorum combibonum Deos amicos amicas consalutandi in eorumque honorem potandi (489. *φιλοτήσιος*) Asconius in Cic. Verr. I, 26. *Est autem Graecus mos, ut Graeci dicunt, συμπιεῖν κυαθιζομένους, quum merum cyathis bibunt, salutantes primo deos, deinde amicos nominatim. Nam toties merum bibebant, quoties deos et caros suos nominabant.* Adde Plaut. Stich. V, 4, 27. Pers. V, 1, 20. 498. *πίνητ'* AO: *πίνηθ'* EKL: reliqui *πίνεθ'*. *ὑπέρμετρον* AKO: vulgo *ὑπὲρ τὸ μέτρον.* 500. Alcaei fr. XVI. *Οἶνος ἀνθρώποισι δίοπτρον.* Aeschylus fr. XIII. *Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.* Theocrit. XXIX, 1. 501. *ἤρετο* editiones vetustae. Stobaeus *κακότητα δὲ πᾶσαν ἐλέγχει.* Theognis fortasse dederat *τὸν ὑπὲρ μέτρον ἄ σ α τ ο πίνων.* 503 sqq. Welckero inter Parodias.

πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχει
καὶ νόον ἐν στήθεσσι. δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθεὶς καὶ μέγ' ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς κακόν. ἢν δέ τις αὐτόν
πίνῃ ἐπισταμένως, οὐ κακὸν ἀλλ' ἀγαθόν.

Ἦλθες δὴ Κλεάριστε βαθὺν διὰ πόντον ἀνύσσας,
ἐνθάδ' ἐπ' οὐδὲν ἔχοντ' ὦ τάλαν οὐδὲν ἔχων.
νηός τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς,
Κλεάρισθ', οἷ' ἔχομεν χοῖα διδοῦσι θεοί.
τῶν δ' ὄντων τἄριστα παρέξομεν. ἢν δέ τις ἔλθῃ
σεῦ φίλος ὤν, κατάκεισ' ὡς φιλότητος ἔχεις·
» οὔτε τι τῶν ὄντων ἀποθήσομαι, οὔτε τι μεῖζον
σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα. «
ἢν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον, ὧδέ οἱ εἰπεῖν·
ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ' εὖ,
ὥσθ' ἕνα μὲν ξεῖνον πατρώϊον οὐκ ἀποειπεῖν,
ξείνια δὲ πλεόνεσσ' οὐ δυνατὸς παρέχειν.

Οὔ σε μάτην ὦ Πλοῦτε βροτοὶ τιμῶσι μάλιστα·
ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.
καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν,
ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.

Ὦ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

---

506. *ἔχει* A: vulgo *ἔχῃ*. 507. *καί*. Schaeferus *ὡς*. 509. Odyss. Φ, 293 sqq. 511 sqq. Welckero Epigramma. *ἀνύσσας* intellige *ὁδόν*, Passov. Tacit. Germ. 42. 513. Camerarius: *ἐγὼ δ' ὅμως κατὰ τὰ τῆς νεὼς ἴκρια καὶ τῶν ἐρετῶν ζυγὰ ἤγουν τὰς καθέδρας ξένια παραθήσομαι.* Welckerus: *Num ὑποτιθέναι τὰ ζυγά parabolice dicitur de quocunque, hic igitur de epularum apparatu?* 516. *Homo noster in memoriam sibi revocare videtur praeceptum pervulgatum; omissum est fere, valet enim, aut quod praecipi vulgo solet.* Idem. 517. Camerarius intelligit *Dic ei.* 521. Libri *ἀπολείπειν*: *relinquere incoenatum, non excipere* explicat Welckerus. Optime Epkema *ἀποειπεῖν* cll. 89. 528. Sic K cum Stobaeo: *ἀπονισομένης* A: Anth.

Οὔτε τινὰ προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον,
οὐδ᾽ ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ᾽ ἀκούσω
αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα·
χαίρω δ᾽ αὖ πίνων καὶ ὑπ᾽ αὐλητῆρος ἀείδων,
χαίρω δ᾽ εὔφθογγον χερσὶ λύρην ὀχέων.

Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ᾽ αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐδ᾽ ὑάκινθος,
οὔτε ποτ᾽ ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὗτος ἀνὴρ φίλε Κύρνε πέδας χαλκεύεται αὑτῷ,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω μὴ τήνδε πόλιν Πολυπαΐδη ὕβρις,
ἥπερ Κενταύρους ὠμοφάγους ὄλεσεν.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι
Κύρνε δίκην, ἶσόν τ᾽ ἀμφοτέροισι δόμεν,
μάντεσί τ᾽ οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν,
ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο. τῷ δὲ δικαίῳ
τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Pal. IX, 118. *ἀπονισαμένης.* Vulgo *ἀπανισταμένης.* Mimnermo digna sententia. 530. *οὐδ᾽* dedi ex AKO: vulgo *οὔτ᾽ ἐν.* Ad sententiam cfr. Scol. 25. 533. *αὖ* Brunckius: libri *εὖ.* *ἀείδων* Piersonus Verisimm. 226. Libri *ἀκούων.* 535. *ἰθεῖα* A: reliqui *εὐθεῖα.* De animo servili cogitandum, non de corpore. 539. *οὗτος* A: reliqui *οὔτις.* Ibidem *αὑτῷ* A et alii. 542. *ὄλεσεν* AKO: reliqui *ὀλέσσῃ.* Vide Porson. Eur. Or. 1035. Compara v. 603 sq. 543. *γνώμονα* A: reliqui *γνώμην.* Correxerat Valckenar. Ammon. II, 6. 545. *μάντεσί τ᾽* A: reliqui *μάντεσιν.* 547. Homerus Odyss. X, 373. *Κακοεργίης εὐεργεσί ημέγ᾽ ἀμείνων.* 548. *ἀρειότερον* Matth. Gr. §. 136.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·
δήων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
οὐ πολλὸν τὸ μεσηγύ· διαπρήξουσι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Φράζεο. κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς.
ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα.

Δῷστά σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.

Κεκλῆσθαι δ' ἐς δαῖτα, παρέζεσθαι δὲ παρ' ἐσθλὸν
ἄνδρα χρεών, σοφίην πᾶσαν ἐπιστάμενον.
τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφόν, ὄφρα διδαχθῇς
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
γῆς ὀλέσας ψυχὴν κείσομαι ὥστε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο,
ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

---

549. Aeschyl. Suppl. 179. ὁρῶ κόνιν ἄναυδον ἄγγελον στρατοῦ. Sept. Theb. 81. αἰθερία κόνις με πείθει φανεῖσ' Ἄναυδος σαφὴς ἔτυμος ἄγγελος. H. l. Camerarius recte de signis per ignes datis cogitat, ut in Aeschyli Agamemnone factum narratur. 553. Vulgo οὐ πολλὴν τὸ μεσηγὺ διαπρ. κέλ. Libri πολλόν: rectius interpunxit Bekkerus. 555. ἐν ἄλγεσιν ἦτορ ἔχοντα A post v. 1178. 556. Ibidem A πρὸς δὲ θεῶν: B πρὸς δὲ θεῶν δ': K πρός τε θεῶν δ'. 557. ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς Il. K, 173. indeque multi alii. 559. Distichon a praegresso scite sejunxit Welckerus. Praeclare vero vulgatum ὥστε σε μήτε emendavit Geelius. V. Eurip. Med. 128. cum Scholiis.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

Εὖ ἕρδων εὖ πάσχε. τί κ' ἄγγελον ἄλλον ἰάλλοις;
τῆς εὐεργεσίης ῥηιδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι
ὥστε κυβερνήτης χοιράδας εἰναλίας.

Ῥήτερον ἐξ ἀγαθοῦ θεῖναι κακὸν ἢ 'κ κακοῦ ἐσθλόν.
μή με δίδασκ'· οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα, καλυψαμένη δὲ πάρειμι,
μικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον,
ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
ἀργά· τὰ δ' ἐξοπίσω, τῶν φυλακὴ μελέτω.

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν
πῇ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν·
τῷ δὲ καλῶς ποιεῦντι θεὸς περὶ πάντα τίθησιν,
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.

---

571. Alcman fr. LIX. *Πεῖρά τοι μαθήσιος ἀρχά.* 572. *ἀπείρητοι* A: reliqui *ἀπείρητον.* Cfr. 665. 573. *πάσχ' ἔτι* A: *πράττε τί* vulgo. Idem *ἰάλλοις*: reliqui *ἰάλλεις.* *Bene facienti tibi bene sit.* 577. Welckero inter Parodias cll. vv. 196. 97. Lachmannus *ῥήτερον* ut v. 1370. Legebatur *ῥήδιον.* 579 sq. Welckero Epigramma. *Πάρειμι* ad verbum *παριέναι* revocat Hermannus. 582. *ἄρουραν ἀροῦν.* Soph. Ant. 569 cum Intpp. 584. *ἀργά* Eldickius: libri *ἔργα.* *τῶν φυλακή* recepi ex A: reliqui ut vulgo *τῇ φυλακῇ.* Ad sententiam Simonides fr. 111. *τὸ γὰρ γεγεναμένον οὐκέτ' ἄρεκτον ἔσται.* 585 sqq. Solonis sunt Eleg. XI, 65 sqq. 586. *πῇ* AE: reliqui *ποῖ.*

Τολμᾶν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσιν,
ῥηϊδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος,
μήτε κακοῖσιν ἀσῶντα λίην φρένα, μήτ' ἀγαθοῖσιν
τερφθέντ' ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Ἄνθρωπ', ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι·
πλὴν πλούτου παντὸς χρήματός ἐστι κόρος.
*δὴν δὴ καὶ φίλοι ὦμεν. * ἀτάρ τ' ἄλλοισιν ὁμίλει*
ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτόν, ἣν ἄρα καὶ πρίν
ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
ἔῤῥε, θεοῖσίν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
ψυχρὸν ὃς ἐν κόλπῳ ποικίλον εἶχες ὄφιν.

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις,
οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτήν
αἰσχρὸν δὴ κέρδος καὶ κακόν, ἀμφότερον,
γίγνεται· οὐδέ τι καλόν, ὅτῳ ψεῦδος προςομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

---

592. *ἀμφότερον* Brunckius. 593. Sic A: vulgo *κακοῖσι νοσῶν λυποῦ.* 595 sqq. Welckero Epigramma. 596. *πλούτου* AKO: reliqui *τούτου.* Homerus *Πάντων μὲν κόρος ἐστί.* 597. *ὁμίλει* A: reliqui *ὁμιλεῖν.* Ceterum fortasse scripsit Theognis: *δὴν δὴ καὶ φίλοι ὦμεν ἄτερθ', ἄλλοισι δ' ὁμίλει.* 599 sqq. Welckero Epigramma. 602. Wopkensius *ψυχρῷ,* Uptonus et Brunckius *ποικίλῳ.* Theocr. XV, 58. *τὸν ψυχρὸν ὄφιν.* *Frigidum anguem* Virgilius dixit. *εἶχες ὄφιν.* Fortasse *εἶχέ σ' ὄφιν.* 603. 4. Athen. XII, 525, C. Cfr. v. 1103. 607. *μικρὰ* AK. 608. *προςαμαρτῆι* A: reliqui *προςομαρτεῖ.* 610. *καί* A: reliqui *κἄν.*

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτόν
αἰνῆσαι· δειλοῖς ἀνδράσι ταῦτα μέλει·
σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες·
οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἥλιος καθορᾷ.

Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται·
πολλὸν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι ἀχνύμενος κῆρ·
ἄκρην γὰρ πενίης οὐχ ὑπερεδράμομεν.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασιν,
παντοῖαι δ' ἀρεταὶ καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν
καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι,
αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένει.

---

611. *αὐτὸν* BDMN: fors. *μιν αὐτόν.* Codices EL *οὐδέ με.* 620. *πενίης* recepi ex AKLMNO infra post 1114. *ἀρχὴν γὰρ πενίης* exhibentibus. Nam h. l. omnes *ἄκρην γὰρ πενίην.* Vide Eurip. Archelaei fr. IV. *Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία κακὸν αἴσχιστον, φεύγει δ' ὄλβος.* Aesch. Eum. 560. 621. *τίει — ἀτίει.* Altera haec compositio excusationem habet ex opponendi studio, v. Buttm. Gr. Max. II, 363. Lobeck. Phryn. 564. Ita *δώτῃ — ἀδώτῃ* Hesiod. Op. p. 355. Aelius Dionysius *περὶ ἀκλίτων ῥημάτων* apud Aldum Cornucop. I, fol. 4. *Τὸ ἀτίω σύνθετον· Πᾶς τις πλούσιον ἄνδρα τιᾷ· ἀτιεῖ δὲ πενηχρόν* (sic). 622. Brunckius *ὠὑτός.* Ad sententiam cfr. Alcaei fr. XXVIII. 627. *νήφοσιν* A et libri Stobaei: vulgo *νήφουσ'.* Cfr. 481. Schaeferus monet non participium, sed adjectivum esse, flectendum ut *ἄφρων, ἴδμων* et similia.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὧι τινὶ μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις
Κύρν' ὅγε καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.

Βουλεύου δὶς καὶ τρίς, ὅ τοί κ' ἐπὶ τὸν νόον ἔλθῃ·
ἀτηρὸς γὰρ ἀεὶ λάβρος ἀνὴρ τελέθει.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
οὐ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι;

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὑρεῖν
ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.

Οὔ τοί κ' εἰδείης οὔτ' εὔνουν οὔτε τὸν ἐχθρόν,
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.

Πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

---

631. *ᾧτινι* A: vulgo *ᾧπερ*. 632. *κυρναῖ καί* A: *κύρνε καί* quinque libri: alii *κύρνε τι* (*τοι*) *καί*, *κύρνε ἴδ' αὖ*. Correxit Brunckius ex codice. 634. *ἀεί* A: reliqui *τοι*. Illa forma hoc uno loco usus est Theognis, si usus est. 636. *οἳ νῦν* Bekkerus ex Stobaeo: secutus sum codices appicto in fine versus signo interrogandi. *ἐν* A: reliqui *μέν*. *ὀλίγοι* A: *δ' ὀλίγοις* reliqui. Brunckius igitur sic: *οὐ νῦν μὲν πολλοῖς, ἀτρεκέως δ' ὀλίγοις*. 638. *Durus uterque deus* Propertius. 639. *πὰρ δόξαν* Dissen. Pind. Ol. XIII, 83. *γίγνεται εὑρεῖν* Viger. 231, b. 641. Sic eximie A: *κήσει ὁ εἷς* KO: *κήδει ὁ εἷς* vulgo. Ceterum A hic et statim post *πράγματος*, *πράγματι*. 646. *θυμόν* AKO: vulgo *θυμοῦ*.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
  αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
  σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίη καὶ πολλὰ διδάσκεις,
  ἐσθλὰ μετ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν,
  Κύρν' · ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Σύν τοι Κύρνε παθόντι κακῶς ἀνιώμεθα πάντες·
  ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσιν
  χαῖρ', ἐπεί ἐστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὐδ' ὀμόσαι χρὴ τοῦθ', ὅτι μήποτε πρῆγμα τόδ' ἔσται·
  θεοὶ γάρ τε νεμεσῶσ', οἷσιν ἔπεστι τέλος.

Καὶ πρῆξαι μέντοι τι καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
  καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸς ἀνήρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται,
  ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.

---

649. Cfr. 351 sqq. Simonid. Eleg. fr. LXI. *ἐμοῖς ἐπικειμένη* A: reliqui *ἐμοῖσι καθημένη*. 651. *κακὰ πολλά* Stobaeus: at v. Odyss. *B*, 188. *πάλαιά τε πολλά τε εἰδώς*. G. Dindorf. Praefat. Demosth. IX. 652. *μετ'* A et Stobaeus: *παρ'* vulgo. Vide 739. *Cum hominibus probis.* 655. *τοι* A: *σοί* reliqui. 656. *τό γ'* Brunckius. 657. *ἀσῶ*. Margo BDMN *ἤγουν λυποῦ*. 659. *τοῦθ' ὅτι* Camerarius: libri *τουτό τι*, *τοῦτο*, *τούτω*. 660. *γάρ τε* AO: reliqui *καὶ γάρ*. Quidam teste Camerario *θεοὶ γάρ τοι*. 661. Brunckius *χρὴ πρῆξαι μέν τοί τι· καὶ* sqq. Delevi importunam *στιγμὴν* post *τι* positam. 663. *πέπαται* Brunckius: codices *πέπασται*. Schaeferus malit *πέπατο*. 664. *ἐξαπίνης αποτοῦν* A: Epkema *πάντ' αὖ*. Sed cfr. Herod. II, 39. 47. 88. Doriei Epigr. Jacobs. Del. Epigrr. III, 46, 8. Hartung. Particc. Grr. II, 18. Unde *ἀπ' ὄγ' οὖν* suspiceris scribendum esse. *μιῇ* AO: reliqui *μιᾷ*.

Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

Εἰ μὲν χρήματ᾽ ἔχοιμι, Σιμωνίδη, οἷά περ ἤδη
οὐκ ἂν ἀνιῴμην, τοῖς ἀγαθοῖσι συνών.
*νῦν δέ με γιγνώσκοντα * παρέρχεται, εἰμὶ δ᾽ ἄφωνος*
χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι
οὕνεκα· νῦν φερόμεσθα καθ᾽ ἱστία λευκὰ βαλόντες
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ᾽ οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
ἀμφοτέρων τοίχων. ἦ μάλα τις χαλεπῶς
σώζεται. οἱ δ᾽ ἔρδουσι. κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν, ὅ τις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ᾽ ἁρπάζουσι βίῃ, κόσμος δ᾽ ἀπόλωλεν,
*δασμὸς δ᾽ οὐκέτ᾽ * ἴσος γίγνεται ἐς τὸ μέσον,*
φορτηγοὶ δ᾽ ἄρχουσι, κακοὶ δ᾽ ἀγαθῶν καθύπερθεν.
δειμαίνω μή πως ναῦν κατὰ κῦμα πίῃ.

667—674. Welckerus inter *γνώμας ἀδεσπότους* reposuit. Scripta haec esse debent ante exsilium poetae in ipsis turbis rerum civilium. 667. Vulgo *οἷά περ ἤδειν, οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών.* Reposito ex A *ἤδη* et verbis recte distinctis loco intellectum et sanitatem reddidimus. 669 sq. Hoc distichum Welckerus ex Theogn. 419. 20. *Πολλά με καὶ συνιέντα παρ. κτλ.* agglutinatum ratus est: *νῦν δὲ* ad juncturam et oppositionem clariorem illatum: subjectum quum desit, hiulcam esse orationem. Verum recte oratio fluet, si *παρέρχοντ᾽* (*praetereunt*) vel *παρέρχαται* (*me excluserunt*) scripseris. Tum sic erit sermo nexus: *Si haberem opes, cum optimatibus versans non, ut nunc, aeger essem: nunc autem me qui intelligam — ob pauperiem autem loqui nequeo — quanquam melius multis intelligo,* *οὕνεκα* sqq. Oratio liberius conformata propter inserta vv. *εἰμὶ δ᾽ ἄφωνος χρημοσύνῃ:* hinc illud *πολλῶν γνούς περ ἄμ.* post *γιγνώσκοντα* repetitum. 670. *περ* GO: plerique *ἄν*, quidam ignorant, K *πολλῷ γνόντι ἄμεινον* omisso *ἔτι.* 671—682. Haec Welckerus longe a prioribus disparavit. 671. Comparationem illustrant Intpp. Hor. Carmm. I, 14. 675. *ἔρδουσι* AKO: reliqui *εὕδουσι.* Bekkerus *σώζεται οἷ᾽ ἔρδουσι* conjicit. *Κυβερνήτην Optimates* videtur dicere. 676. *ὅ τις* A: reliqui *γ᾽ ὅς, γ᾽ ὡς, δ᾽ ὅς.* 678. *ἴσως* quinque libri Bekkeri: Thierschius *δ᾽ οὐκ ἴσως*, Emperius *οὐκέτι σῶς.* Nam *ἶσος* habet Theognis, non *ἴσος.*

ταῦτά μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσιν·
γιγνώσκοι δ᾽ ἄν τις καὶ κακός, ἢν σοφὸς ᾖ.

Πολλοὶ πλοῦτον ἔχουσιν ἄϊδριες· οἱ δὲ τὰ καλὰ
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ᾽ ἀμφοτέροισιν ἀμηχανίη παράκειται·
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὐκ ἔστιν θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι
οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ πημαίνειν ὅτε μὴ πημαντέον εἴη,
οὐδ᾽ ἔρδειν ὅτε μὴ λώϊον ᾖ τελέσαι.

Χαίρων εὖ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου,
καί σε Ποσειδάων χάρμα φίλοις ἀγάγοι.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας·
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ᾽ ἐσθλὰ παρῇ.

Οὐ δύναμαί σοι θυμὲ παρασχεῖν ἄρμενα πάντα.
τέτλαθι· τῶν δὲ καλῶν οὔτι σὺ μοῦνος ἐρᾷς.

Εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
συγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.

Πλήθει δ᾽ ἀνθρώπων ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν· τῶν δ᾽ ἄλλων οὐδὲν ἄρ᾽ ἦν ὄφελος,

---

681. Schaeferus *οὐ κεκρυμμένα* speciosius quam vere. 682. *κακός* Brunckius: libri *κακόν*. Ibidem *ἢν* dedi: legebatur *ἄν*.
686. Interpretantur *ἡ τῶν χρημάτων ἀπουσία* et *νόος* qui deficit. Scilicet latet negatio in v. *εἴργει*, v. Lobeck. Ajac. 674.
689. 90 Suscepi ex libris plerisque *ὅτε*: vulgo *ὅ τι*. 691. 92. Welckero Epigramma. 693. Sic AKO cum Stobaeo: reliqui *ἀφρονέοντας*. 700. *ἄρ᾽ ἦν*. Vide Hermann. Arist. Nubb. 1030. Pflugk. Eurip. Hel. 746. Intpp. Plat. Phaed. 68, B. Aeschin. Ctesiph. 357. Hartung. Particc. Grr. I, 434.

οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
ὅςτε καὶ ἐξ Ἀΐδεω πολυϊδρίῃσιν ἀνῆλθεν,
πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ἥτε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο —
ἄλλος δ' οὔπω τις τοῦτό γ' ἐπεφράσατο,
ὅντινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
ἔλθῃ δ' ἐς σκιερὸν χῶρον ἀποφθιμένων,
κυανέας τε πύλας παραμείψεται, αἵτε θανόντων
ψυχὰς εἴργουσιν καίπερ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις· —
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν
καὶ παίδων Βορέω, τῶν ἄφαρ εἰσὶ πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Ἶσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστιν
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστιν
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν
παιδός τ' ἠδὲ γυναικός. ὅταν δέ κε τῶν ἀφίκηται
ὥρη, σὺν δ' ἥβη γίγνεται ἁρμοδία,

---

702. Sic A: reliqui vitiose *Αἰολίδου Σισύφου.* 703—715. Suspectat Welckerus. Confer Tyrtaeum El. IX, 3 sqq. 705. *νόοιο* AKO: reliqui *νόημα.* Vide v. 223. Matth. Gr. §. 338. 707. *ἀμφικαλύψῃ* A: reliqui *ἀμφικαλύψοι.* 708. *ἔλθῃ* AKO: reliqui *ἔλθοι.* *ἐς σκιερόν* A et octo alii libri: BM *κριερόν.* Legebatur *κρυερόν.* 711. Sic A: vulgo *Σίσυφος πάλιν ἤλυθεν ἥρως.* 713. *ποιοῖς* AO: reliqui *ποιεῖς.* Homerus Odyss. *Τ*, 202. Hesiod. Theog. 27. 715. *ταχέων* AKO: v. Buttm. Gr. Max. I, 252. Scholl. Il. *Ε*, 269. 716. *Βορέω* A: vulgo *Βορέου.* *Ἄφαρ εἰσί,* h. e. *veloces sunt*, cfr. Homer. Il. *Ψ*, 311. Buttm. Gr. Max. II, 429. 561. 717. Sic AO: reliqui *ἀλλά γε χρή, ἀλλ' ἄγε χρή.* 719—728. Solonea sunt Eleg. fr. 14. 724. *ἁρμοδία* apud Solonem: libri *ἁρμόδιος*, K. *ἁρμόδιον.*

ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα τοῖς μὲν ἀλιτροῖς
ὕβριν ἁδεῖν, καί σφιν τοῦτο γένοιτο φίλον
θυμῷ, σχέτλια ἔργα μετὰ φρεσὶν ὅστις ἀπηνής
ἐργάζοιτο θεῶν μηδὲν ὀπιζόμενος,
αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά, μηδέ τ' ὀπίσσω
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν·
παῖδες δ' οἵτ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
ποιῶσιν Κρονίδη σὸν χόλον ἁζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα. νῦν δ' ὁ μὲν ἔρδων
ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μήθ' ὅρκον ἀλιτρόν,
ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια πάθῃ;
τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα
ἅζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρός

---

726. *Ἀΐδεω* AKO: vulgo *ἀΐδην*. 729 sq. Welckerus: *Curae hominum non solum celeres sunt et graves, verum variae quoque.* 733. *διατάφρεσι δ'* A: *μετὰ φρεσί θ'* K: *μετὰ φρεσὶ δ'* vulgo. *ἀθήνης* libri: correctum in edd. vett. 736. Sic A: *ἀτασθαλία* K: vulgo *ἀτασθαλίη π. γένοιτο.* 737. *παῖδας* L et Turnebus. Tum *τ'* A: *θ'* KO. 738. *ποιῶσιν* A: vulgo *ποιοῦσι.* 745. *μήθ'* libri omnes: legebatur *μηδ'*. Intellige *μήτε ὑπερβασίην μήτε ὅρκον.* 746. *ὅς τις — μὴ πάθῃ* illustrat Matth. Gr. p. 1303. 747. *τίς δή κεν* A: vulgo *τίς δὴ καί.* 749. *οὔτε τι ἀνδρῶν* KO.

οὔτε τευ ἀθανάτων μῆνιν ἀλευόμενος,
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
τρύχωνται χαλεπῇ τειρόμενοι πενίῃ;

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
αἰεὶ τῶνδ' ἐπέων μεμνημένος. ἐς δὲ τελευτήν
αἰνήσεις μύθῳ σώφρονι πειθόμενος.

Ζεὺς μὲν τῆςδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,
ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
ὀρθώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.

Φόρμιγξ αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός,
ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἶναι καὶ ἄμεινον· εὔφρονα θυμὸν ἔχοντας
νόσφι μεριμνάων εὐφροσύνως διάγειν
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσόν
εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν,

---

750. τευ A: reliqui τι. Vide Hermann. Viger. 918. 751. ὑβρίζῃ AK: vulgo ὑβρίζει. 752. Libri τρύχονται. 757. Il. *I*, 419. 686. 760. ὀρθώσαι A. Vulgo ἀρθρώσαι. 761. Legebatur φόρμιγγ' αὖ φθέγγοισθ' ἱ. μ. ἠδὲ καὶ αὐλῷ. Sed φόρμιγγ' δ' αὖ A: φθέγγοιθ' CGKNO: αὐλός A. Hinc Brunckii scripturam adoptavi. 762. ἀρεσσόμενοι AKO: Emperius conjicit ἀρυσσάμενοι. Sed v. Il. *Δ*, 362. 764. τῶν — πολέμων A. 765. Sic A, sed ειν pro eo q. e. εἶναι; reliqui ἀμείνονα εὔφρονα. Aliter distinxi: interpungebatur ὧδ' εἶναι. καὶ ἄμεινον ἐΰφρ. κτλ., quod intelligi nequit. De εὔφρονα θυμὸν et εὐφροσύνως juxta positis v. Seidler. Eur. Iph. Taur. 946.

ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
  τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος;

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
  Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε
  τῆσδε πόλευς, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ᾽ ἑκατόμβας,
  τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ
παιάνων τε χοροῖς ἰαχαῖσί τε σὸν περὶ βωμόν.
  ἦ γὰρ ἔγωγε δέδοικ᾽ ἀφραδίην ἐσορῶν
καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σὺ Φοῖβε
  ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ ἐς Σικελήν ποτε γαῖαν,
  ἦλθον δ᾽ Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ᾽ Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ·
  καί μ᾽ ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
ἀλλ᾽ οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
  οὕτως οὐδὲν ἄρ᾽ ἦν φίλτερον ἄλλο πάτρης.

Μή ποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
  ἀντ᾽ ἀρετῆς σοφίης τ᾽, ἀλλὰ τόδ᾽ αἰὲν ἔχων

---

771. Cum verbo *μῶσθαι*, h. e. *commentari*, Propertianum *quaerere* I, 7, 6. confert Welckerus. Voluitne Theognis *Μουσῶν* nominis originationem dare? Ceterum meminerimus Proverbii biblici: *Ἐὰν σοφὸς γένῃ σεαυτῷ, υἱέ, σοφὸς γένῃ καὶ τῷ πλησίον.* — 773. De Apolline conditore alterius arcis Megarensium v. Muelleri Dorr. I, 229. De Alcathoo Paus. I, 41, 5. 42, 1. 43, 4. Eurip. Heracl. 279. Ovid. Met. VIII, 14. 775. Herodotus VI, 112. *Τέως ἦν τοῖσι Ἕλλησι καὶ τοὔνομα τῶν Μήδων φόβος ἀκοῦσαι;* v. 950. 778. Schaeferus *καί τ᾽ ἐρατῇ θαλίῃ.* 785. Saepe Eurotas *δονακόεις, δονακώδης* simm. appellatur, v. Eurip. Hel. 213. cum Pflugkii nota. *Εὐρώτα ἄστυ.* Confer Pindar. Ol. II, 10., ubi Agrigentum est *ἱερὸν οἴκημα ποταμοῦ*, v. Boeckh. Explicatt. p. 123. Athenae Eurip. Med. 846. *ἱερῶν ποταμῶν πόλις*, ubi v. Pflugkium. 788. *ἄρ᾽ ἦν.* Vide ad v. 700. Ad sententiam Homer. Odyss. *I*, 34. 790. Sic A: reliqui omittunt *τ᾽*. Hinc ex Vineti emendatione *ἀντ᾽ ἐρατῆς σοφίης* vulgabatur.

τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
  καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον.

Μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς
  μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τὴν σαυτοῦ φρένα τέρπε. δυςηλεγέων δὲ πολιτῶν
  ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ·
  τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς·
  * ἀλλ' ὡς λώϊον, οὗ μὴ πλεόνεσσι μέλει.

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν
  ὅςτις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω.
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
  Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρόν
  εὐθύτερον χρή * μιν Κύρνε φυλασσέμεναι,
ᾧ τινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
  ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου.
οὔτε τι γὰρ προςθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
  οὐδ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

---

793. Vide Mimnermi Eleg. fr. 7. ξείνων A: reliqui ξεῖνον. 796. Sic margo H: τοι σε A: reliqui τοῖςδε. 799. Simonides Amorg. fr. IV. *Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος.* 800. ᾧ CG: ὃς EKL: ὥσει A. Tum pro vulgato οὗ K ὅς: O ὃ: omittit A, in quo et KO est μέλοι. Brunckius: *Phrasis est, ἀλλ' ὡς λώϊόν ἐστιν ἐκείνῳ, οὗ ὀλίγοις μέλει.* Welckero ὡς λώϊον est fere i. q. ὡς λῷστον. Boissonadius ἀλλ' ᾧ λώϊον; οὗ κτλ. Fortasse ἀλλ' ὧς vel ἄλλων. 805. θεωρόν Vinetus: libri θεωρῶν. 806. Sic Turnebus: libri χρὴ μὲν Κ. φυλασσόμενον. Geelius χρὴ νοῦν conjicit. Vide Hermann. Orph. 798. 807. θεοῦ χρήσασ' ἱερεῖα A: vulgo θεὸς χρ. ἱερεῖα. Emendavit Brunckius. 808. Homerus: *Αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο ἧκε.* 810. οὐδ' dedi ex AKO: vulgo οὔτ'.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
τῶν δ' ἄλλων πάντων Κύρν' ἀνιηρότατον.
οἵ με φίλοι προὔδωκαν. ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
εἰδήσω καὶ τῶν ὅντιν' ἔχουσι νόον.

Βοῦς μοι ἐπὶ γλώσσῃ κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον.

Κύρν', ἔμπης δ' ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι·
ὅ ττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.

Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα
Κύρνε συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας,
τούτων τοι χώρη Κύρν' ὀλίγη τελέθει.

Μήτε τιν' αὖξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων,
μήτε κτεῖνε θεῶν ὅρκια συνθέμενος.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδεν
θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
ἥτε τρέφει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
*ξανθῇσίν * τε κόμαις πορφυρέους στεφάνους.*

---

812. Quattuor libri *ἀνιηρότερον*, v. ad versum 274. 814. *καὶ τόν* AO. 815. *γλώσσῃ* A: reliqui *γλώσσης*. De proverbio egerunt ad Aeschyli Agam. 36. Zenob. Provv. II, 70. 819. Sic A: reliqui *πολὺ ἄῤῥητον*, *πολυάῤῥητον*, *πολὺ ἄῤῥηκτον*. 822. Cfr. supra 152. Hesiod. Opp. 189. Coraës *ὤρη*. 823. Sic A: reliqui *κέρδεος εἶναι*. 825. *ὑμῖν* A: reliqui *ἡμῖν*. 827. Camerarius: *ἔστι τὰ λεγόμενα ἀσυντακτότερά πως καὶ οὐδ' ἴσως ἀπηρτισμένα· ἴσως τε γραπτέον μᾶλλον ξανθῇσίν γε κόμαις*. Vulgatum qui tutabitur *καρποὺς* interpretabitur *carpos*, ut et in manibus et in capillis coronas gestaverint combibones. Vereor equidem ne *τρέφει* postulet *fruges* intelligi. At tum aut *ξανθῇσιν κεφαλαῖς* aut, quod probo, *ξανθαῖς ἀμφὶ κόμαις* restituendum.

ἀλλ' ἄγε δὴ Σκύθα κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ. οὐδέ τις ἡμῖν
αἴτιος ἀθανάτων Κύρνε θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,
δίψα τε λυσιμελὴς καὶ μέθυσις χαλεπή.
τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
οὔτε τι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστος,
εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

Ἀλλ' ὁπόταν καθύπερθεν ἐὸν ὑπένερθε γένηται,
τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν,
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέϊ, καὶ ζεύγλην δύςλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
ἀνθρώπων ὁπόσους ἠέλιος καθορᾷ.

---

829. Bello devicti tondebant capillos ea lege condita, ut ne quis civium denuo aleret, quam recuperata ea agri parte, quae in hostium potestatem esset redacta, v. Herod. I, 82. Plat. Phaed. 89, C. Tacit. Hist. IV, 61. 831. *ὄλεσσα χρήματ'* Jacobsius. 833. *φθόρῳ* A: vulgo *φθορᾷ*. 835. *δειλά* A: vulgo *πολλά*. 841. *ἀχάριστον* A. 843. *ἐόν* Epkema: libri *ἐών*. 845. Pindar. Pyth. IV, 272 sq.

Ζεὺς ἄνδρ᾽ ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊον ἤδη,
οὕνεκα τοῖς δειλοῖς οὐδεμί᾽ ἔστι χάρις.

Πολλάκις ἡ πόλις ἥδε δι᾽ ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη νηῦς παρὰ γῆν ἔδραμεν.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα,
αὐχέν᾽ ἀποστρέψας οὐδ᾽ ἐσορᾶν ἐθέλει·
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίγνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Οἵ με φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι
ἄστρων φαινομένων· ἀλλ᾽ ἐγὼ αὐτομάτη
ἑσπερίη τ᾽ ἔξειμι καὶ ὀρθρίη αὖθις ἔσειμι,
ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλόν, ὃς οὔτ᾽ αὐτῷ βέλτερος οὐδὲν ἐὼν
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔποτ᾽ ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν,
*χάλκεος, * ἀνθρώπων δεῖμα χαμαιγενέων,*

---

853. Sic Commelinus: libri *ἡδέα* et hic et post 1038. *λώϊα δὴ νῦν* A: *λώϊα ἢ νῦν* K: *λῷονα ἢ νῦν* vulgo. 854. Plerique libri *τοὔνεκα.* 856. Legebatur *ναῦς.* 859. *παυράκι* A: reliqui *πολλάκι.* 861. Camerarius: *ἑταιρικὸν ἐπίγραμμα, ὡς ἀπὸ γυναικός.* Welckerus pro aenigmate habet. 862. *ἄστρων* Kotenius, Hermannus, Emperius. Legebatur *ἀνδρῶν*, cui margo BD hanc admovet interpretationem: *ἤγουν κατὰ τὸν καιρὸν τῆς ἡμέρας.* 866. Sic A: reliqui *οὔθ᾽ αὐτῷ.* Ibidem Geelius dubitanter *οὐτιδανῷ.* Intellige: *Deus saepe hominibus nequam dat praeclaras divitias, quae neque ipsi illi cui dat* (singulari utitur poeta, ex omnibus hominibus plebejis unum aliquem in mente habens) *neque amicis prosunt, quum nihili illi sint divitiae.* At sunt aliquid Optimatibus. 868. *σαοῖ* AKO: vulgo *σάοι.* Vide Buttmann. Gr. Max. II, 232. 870. *χαμαιγενέων* A: reliqui *παλαιγε-*

εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
οὔτε ποτ' ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἄν σέ γε μωμήσαιτο;
τίς δ' ἂν ἐπαινήσαι μέτρον ἔχων σοφίης;

Ἡβώοις, φίλε θυμέ. τάχ' αὖ τινὲς ἄλλοι ἔσονται
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ἄπο Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι. κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Μηδὲ λίην κήρυκος ἂν οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.

νέων. Vide Mitscherlich. Hor. Carmm. III, 3, 7. Paene receperam elegantissimam Emperii mei emendationem *ἀθανάτων δώματ' ἀειγενέων.* 875. *σέ τε* AKO: om. *τε* BM. 876. *ἐπαινήσαι* O: reliqui *ἐπαινήσῃ*, *ἐπαινήσει.* 877. Infra post 1070. rursus ponunt libri a vv. *τέρπεό μοι, φ. θ.*, orsi. *αὖ* A: reliqui *ἄν*, multi *ἔσοιντο.* 879 sqq. Welckero Epigramma. Diversum a Theognide poetam prodi vino ex Taygeto censebat Heynius. 882. *ἐπάγων*, scil. *ταῖς ἀμπέλοις*, non vino, ut mire interpretatur Osannus Symbb. Hist. Litt. Grr. I, 66. Idem Osannus *πλατανιστοῦντα* esse opinatur eundem locum, quem Paus. III, 11, 2. 14, 8. 9. cll. III, 15, 2. adolescentibus Spartanis campum Martium fuisse scribit. Is *Πλατανιστᾶς* vocatur: et fonticulum juxta fuisse Pausanias testatur. 883. *Dissipat Euius curas edaces.* Horatius. Stasinus Cypriis Ath. II, 35, C. *Οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.* 888. Welckero proverbialis videtur locutio.

Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
ἵππων μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.

Οἴ μοι ἀναλκίης! ἀπὸ μὲν Κήρινθος ὄλωλεν,
Αηλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν.
ὡς δὴ κυψελίζον Ζεὺς ὀλέσειε γένος.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ,
οὐδ' ἀγνωμοσύνης Κύρν' ὀδυνηρότερον.

Μὴ πάντ' ἀνδράσι Κύρνε καταθνητοῖς χαλεπαίνειν,
*γιγνώσκων ὡς νοῦν * οἷον ἕκαστος ἔχει*
αὐτὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα τῷ τε δικαίῳ
τῷ τ' ἀδίκῳ, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

---

891. Welckero Epigramma. *Κήρινθος* A: reliqui *Κήρυνθος*. Heynio haec propter Cerinthi commemorationem, de qua urbe v. Homer. Il. *B*, 538., et Lelanti agri, de quo v. Homer. Hymn. Ap. Del. 220. Callim. Del. 289. C. Fr. Hermann. Mus. Rhen. I, 287., ad poetam Euboeensem spectare videntur. 894. *ὡς δὴ κυψελίζων* AN: vulgo *ὡς κυψελλίζον*, v. Schaefer. in Greg. Cor. 372. Hermann. Soph. Aj. 209. *Κυψελίζον* Camerarius interpretatur *τὰ τοῦ Κυψέλου φρονοῦν ἢ ἐπαινοῦν ἢ μιμούμενον γένος*. Aliter Muellerus Dorr. I, 169. 895. Sic A: reliqui *ἔν γε ἑαυτῷ*. 896. *ὀδυνηρότερον* A: legebatur *ἀνιηρότερον*. 897. Libri *Κύρνε μὴ* (*Κύρν' εἰ* A) *πάντ' ἄνδρεσσι*. Emendavit Brunckius. Fuitne *Μὴ παῖ πάντ' ἄνδρεσσι?* Camerarius: *Δυστέκμαρτος ὁ νοῦς τοῦ ἐλεγείου καὶ ἀσυνάρμοστα τὰ ἔπη, ἐμοί τε δοκεῖ οὐ μόνον ἀδιόρθωτα, ἀλλὰ καὶ ἐκ κώλων τινῶν ἀτελῶν συμπλοκὴν εἰληφότα.* Welckerus sic expedit: *Hominibus fragilibus ne quamvis rem succenseas, probe noscens, qualemcunque quivis mentem habeat et opera, tam justum quam injustum grave damnum facile posse attingere.* *Οἷον* esse i. q. *οἷον οὖν*, *οἷον δή ποτε* cll. Lobeck. Phryn. 374. Hermannus contra: *ὡς νοῦν, οἷος ἕκαστος, ἔχειν αὐτὸν ἐνὶ στήθ., καὶ ἔργματα τῶν τε δικαίων τῶν τ' ἀδίκων, μέγα κεν κτλ.* Si scriberetur cum Vineto *ἔχεις* et post v. *ἔργματα* interpungeretur, recepto denique *τῷ δὲ δικ.* cum A aliisque codicibus numero decem, haec videri possent bene fluere. At in sqq. haeremus: vulgo *ἐπῇ*: A *ἐπῆν*. Ceterum v. 893. A *γινώσκειν*: 899. *ἐντός* K: 900. *δ'* FGKO. Non expedio.

Ἔστιν ὁ μὲν χείρων, ὁ δ᾽ ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ᾽ ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅςτις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
ἤμελλ᾽ ἐκτελέσας εἰς Ἀΐδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον·
νῦν δ᾽ οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρεν,
καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω,
ἐν τριόδῳ δ᾽ ἕστηκα. δύ᾽ εἰσὶν πρόσθεν ὁδοί μοι·
φροντίζω τούτων ἥντιν᾽ ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ᾽ ὃς ἐφείδετο κοὔποτε γαστρὶ
σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄϊδος εἴσω,
χρήματα δ᾽ ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν,
ὥστ᾽ ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ὥς κ᾽ ἐθέλοι τις.
εἶδον δ᾽ ἄλλον ὃς ἧ γαστρὶ χαριζόμενος
χρήματα μὲν διέτριψεν, ἔφη δ᾽ »ὑπάγω φρένα τέρψας·«
πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν᾽ ἴδῃ.

Οὕτω Δημόκλεις κατὰ χρήματ᾽ ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
οὔτ᾽ ἂν πτωχεύων δουλοσύνην τελέοις·

---

901. Il. *Δ*, 320. *N*, 729 sqq. Odyss. *I*, 167. Multi codices ut vulgo: *ἔστι τὸ μὲν χεῖρον, τὸ δ᾽ ἄμεινόν γ᾽ ἔργον ἑκάστου.* Bekkerus correxit ex A, nisi quod is quoque *ἑκάστου* habet cum reliquis. 902. *αἰστός* A. 903 sqq. Welckerus inter *γνώμας ἀδεσπότους* rejecit, quam jejuni Grammatici alicujus exercitationem esse censet. 903. Camerarius *τηρῶν*. Num *μετρεῖ* — *τηρῶν*? aut *τηρεῖ* — *μετρῶν*? 905. *τι* A. 911. *τοπρόσθεν* A: Wernick. Tryphiod. 175. *δύω τὸ πρόσθεν ὁδοί μοι.* 914. *τερπνῷν* A. 919. Fortasse *οἷς* vel *ᾧ κ᾽ ἐθέλοι τις.* 920. *οσῃ* A: reliqui *ὅς ἦν.* 925. *καμάτου* K.

οὐδ᾽ εἰ γῆρας ἵκοιο, τὰ χρήματα πάντ᾽ ἀποδραίη.
  ἐν δὲ τοιῷδε γένει χρήματ᾽ ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
  παῦροι, κοὐκέθ᾽ ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ᾽ ἀποκλαίει
  οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
  ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
πάντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ᾽ αὐτόν
  χώρης εἴκουσιν, τοί τε παλαιότεροι.
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
  βλάπτειν οὔτ᾽ αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῇ λίγ᾽ ἀειδέμεν ὥσπερ ἀηδών·
  καὶ γὰρ τὴν προτέρην νύκτ᾽ ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ᾽ ἑταῖρος
  ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.

Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστάς
  δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε
  κλινόμενος· χρὴ γάρ μ᾽ ἄρτια πάντα νοεῖν.

---

927. *ἵκοιο* AKO: reliqui *ἵκοιτο*. 929. Sic AN: reliqui *εἰ — πλουτεῖς*. 930. *κοὐκέθ᾽* A: reliqui *οὐκέθ᾽*. 933. Juvenalis X, 297. *Rara est adeo concordia formae Atque pudicitiae.* Confer Tyrtaei Eleg. IX, 37 sqq. 935. *νέοι* A: reliqui *ἴσοι, ἶσοι*. 936. Sic A: *χώροις εἴκουσιν* KO: *εἴκουσι χώροις* FL: reliqui *εἴκουσιν χώρης*. Tum *οἵ* plerique. 937. 38. plerique ignorant. 939. *Ἀστεϊσμά τι συμποτικὸν τοῦτο* Camerarius. Legebatur *λιγύρ᾽ ᾀδέμεν*: A *λίγ᾽*: hinc correxi, v. Homer. Odyss. *K*, 254. Sensus Welckero hic videtur: *Hodie quod canere nequeo, non tibicinem accuso, quasi cum cantu meo minus conspiret; sed tristitia in caussa est. Deest enim, hei mihi, ad quem heri comum egi, amicus amabilis, per ironiam quandam, σοφίης οὐκ ἐπιδευόμενος.* 942. Emperius *ἀλλά με γῆρυς — ἐπιδευόμενον*. 943. 44. In alienum locum surrepsisse videntur. Diremi spatio.

Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ᾽ ἐπὶ δήμῳ
τρέψας οὔτ᾽ ἀδίκοις ἀνδράσι πειθόμενος.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς
ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον·
τειχέων δ᾽ ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα·
ζευξάμενος δ᾽ ἵππους ἅρματος οὐκ ἐπέβην·
πρήξας δ᾽ οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
δρήσας δ᾽ οὐκ ἔδρησ᾽, ἤνυσα δ᾽ οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
χηρεύσει πολλῶν, καὶ χάρις οὐδεμία.

Εἴ τι παθὼν ἀπ᾽ ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ·
νῦν δ᾽ ἤδη τεθόλωται, ὕδωρ δ᾽ ἀναμίσγεται ὕδει.
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μή ποτ᾽ ἐπαινήσῃς πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅςτις ἂν ᾖ.

---

948. Camerarius recte: *ὥστε μήτε τῷ δήμῳ ἐπιτρέψαι ἑαυτόν, μήτε κτλ.* Paullo aliter Muellerus Dorr. II, 72. qui utrumque distichum conjungit. 949. Aenigmati solvendo apponunt Rhiani Epigramma Anth. Pal. XII, 146.

Ἀγρεύσας τὸν νεβρὸν ἀπώλεσα, χὠ μὲν ἀνατλὰς
μυρία καὶ στήσας δίκτυα καὶ στάλικας,
σὺν κενεαῖς χείρεσσιν ἀπέρχομαι· οἱ δ᾽ ἀμογητὶ
τἀμὰ φέρουσιν, Ἔρως, οἷς σὺ γένοιο βαρύς.

Puer cum hinnuleo, amator cum venatore comparatur. 955. *δειλοὺς δ᾽ εὖ* vulgo: illud A. 956. *χηρεύσει* Brunckius: libri *χήρωσις*. Io. Damascenus apud Gaisf. Stob. IV, 32. *χήρωσις κτεάνων.* 957. *ἐμεῦ γ᾽* Jacobsius. 959. Inter carmina *παιδικὰ* rettulit Welckerus. *Αὐτός solus.* 960. *ημεν* A. 963. *ῥυθμόν.* Sic Archilochus fr. XIV, 6. *γίνωσκε οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.* Anacreon fr. LXXVIII, 2. *Ὅσοι σκολιοὺς ἔχουσι ῥυθμοὺς καὶ χαλεπούς.*

πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας πρίν σου κατὰ πάντα δαῆναι
ἤθεα. νῦν δ' ἤδη νηῦς ἅθ' ἑκὰς διέχω.

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ
εἴς τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων,
οὔτε Διωνύσου δῶρ' ἐςαειράμενος.
ταῦτ' ἐςορῶν κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρά
γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα·
μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ' ἀγαθόν.

---

965. *κίβδηλοι* Wassenberghius et Epkema. 967. *πάντως* N: reliqui *πάντων*. 969. *ἔφθην δ' αἰνήσας* libri praeter A. Distichum a Stobaeo praetermissum Welckerus temere assutum arbitratur. 970. Camerarius: *Καὶ νῦν διέχω ἤγουν ἀποστατῶ, ὥςπερ ναῦς, φυλαττόμενος μή πως συγκρούσαιμί σοι ἐγκύρσας.* Welckerus: *Imo naves eo distant longe, quod cursus earum celerrimus est.* Geelius conjicit *νῦν δ' ἀγῆς νηῦς ἅθ' ἑκὰς διέχω.* *νηῦς* A: reliqui *ναῦς*. Idem *ατ.* 973. *πρῶτ' ἐπί* A: *ποτ' ἐπί* KO: reliqui *ἐπεί ποτε.* *καλύψῃ* Turnebus: libri *καλύψει.* 974. *κατέβη* Epkema, v. Hermann. Viger. 929. De pronomine *ὅς* omisso v. Matth. Gr. p. 888. *δώματα* AKO: reliqui *δῶμά τε.* 976. *ἐςαειρόμενος* Schaeferus, h. e. *προςφερόμενος*, *bibens.* 977. *κραδίην* A: reliqui *κραδίῃ.* Fortasse *ὄφρ' ἔτ' ἐλαφρά.* 978. *ἀτρεμέως* AKO: reliqui *ἀτρομέων.* 981. *κρητῆρσι* vulgo: *κλητῆρι* A: emendavit Bekkerus. *θέλγοι* Bekkerus: *θέλγοις* A: vulgo *τέρποι.*

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη,
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.

Πῖν' ὁπόταν πίνωσιν. ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.

Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ' ἔρδων
χαιρήσεις. δύναται ἄλλοτε ἄλλος ἀνήρ.

Εἰ θείης Ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν,
γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Τῆμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
δείπνου δὴ λήγοιμεν, ὅσου τινὰ θυμὸς ἀνώγοι,

---

985. Scholl. Ven. A Il. *Ο*, 80. *Τὸ παροιμιακὸν τὸ Διέπτατο δ' ὥστε νόημα ἔκ τε τούτων καὶ τῶν κατὰ τὴν Ὀδύσσειαν* (*Η*, 36) *σύγκειται· Τῶν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα, οὐκ ὂν παρ' οὐδενὶ ποιητῇ.* 987. Sic A: vulgo *αἵτε περ ἄνδρα. Δορυσσόον πόνον*, v. Lobeck. Aj. 1188. 991. *δ'* A: vulgo *τ'*: *θ'* CGK. 992. *χαιρῆισι δυναται ἄλλοτε δ'* A: *χαιρήσειν δύνασαι ἄλλοτε τ'* decem libri, quorum pars *δύνααι.* 993. Athenaeus VII, 310, B. *Εἴθ' εἴη σ' Ἀκάδημε κτλ.* 995. *δηρισάντων* AO: *δηριόωσι* Athenaeus. 996. *τ' ὅσσον* A: *θ' ὅσον* KO. 997. Welckero Theognis *δείπνου δὴ μνησαίμεθα* scripsisse videtur et in sqq. monuisse, prandio finito laborem denuo capessendum vel aliud quidquid agendum. Quod ab homine aliquo festivo in contrarium versum esse substituto *λήγοιμεν* et adjuncto in hanc sententiam disticho ex carmine convivali. *Τῆμος* AKO et Athen. VII, 310, B. h. e. *ἦμος*, quod legitur vulgo. Ita *τέως* saepius i. q. *ἕως*. Cfr. Homer. Odyss. *Ν*, 95. 998. *παραγγέλλοι* libri paene omnes et Athenaeus: vulgo *παραγγέλλει.* 999. Nescio quis *δείπνου δῆτ' ἀλέγοιμεν.*

παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.

Ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅςτις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας * ἐλέγχει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅςτις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
πρίν γ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅντιν' ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐςορῶν ἄνθος ὁμηλικίης

ὅσου Athenaeus: Theognis ὅπου. ἀνώγοι A: reliqui ἀνώγει. Brunckius: Δείπνου δὴ μνησαίμεθ', ὅσον τινὰ θυμὸς ἀνώγοι. 1001. δή σοι A: vulgo δ' εἴσω. 1002. Λάκαινα κόρη Muellerus Dorr. II, 265. Nosti Σπάρτην καλλιγύναικα. 1003 sqq. Tyrtaei sunt El. IX, 13 sqq. 1006. μένει A: ἔνι reliqui. 1008. ἔχῃ Brunckius. 1009. Pind. Nem. I, 32. τῶν ἐόντων εὖ παθεῖν. Compara Simonidis Eleg. LX. Brunckius αὑτοῦ cum DHN. 1011. κακῶν ἐπὶ γ. ἐπείγει Piersonus Verisimm. 27. Homer. Il. Ψ, 623. χαλεπὸν κατὰ γῆρας ἐπείγει. Hymn. Ven. 234. στυγερὸν κατὰ γῆρας ἔπειγεν. Libri ἐλέγχει. An ἐλαύνει, ἐρείδει? 1013. ἆ A: reliqui ὡς. 1014. καταβῇ KO: reliqui κατέβη. 1015. Libri πρίν τ'. Ὑπερβῆναι peccare. 1016. δέ A. Ad sententiam Eurip. Herc. Fur. 55 sqq. 1017 sqq. Mimnermi Eleg. fr. 5. 1018. Imprudens in Mimnermo reliqui πτοιοῦμαι: πτοιῶμαι A.

τερπνὸν ὁμῶς καὶ καλὸν, ἐπεὶ πλέον ὤφελεν εἶναι.
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥςπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύςλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν,
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηΐδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
τοῦ δ' ἀγαθοῦ χαλεπὴ Κύρνε πέλει παλάμη.

Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη,
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
ἔχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Ἄνδρα τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
ὡς ἐν ἐμῇ γνώμῃ Κύρνε πάλαι κέκριται.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

1020. *ὀλιγοχρόνιος* KO. 1022. *ὑπερκρέμαται* Dissen. Pind. Isthm. VII, 14. 1025. Sic A: reliqui *δειλοῖς* — *νόοι* vel *γόοι*. 1031. *σύτ'* AKO. 1032. *Ἔχθει μηδ' ἔχθει* A: *ἔχθοι μηδ' ἔχθρου* Palat. alter: *ὄκνει μηδ' ἄχθου* Hermannus: *αὔχει μηδ' αἴσχια* Stobaeus: *ἄχθου μηδ' ἄχθει* Geelius. 1033. *ευφρηνε* A: *ἔχθρηνε* KO. 1035. Camerarius: *Ἐν ἐνίοις γράφεται καδδύς*. Sic K. 1037 sq. Welckero Parodia vv. 814 sq. 1039. Hesiod. Opp. 591. Alcaei fr. XXVIII, a. Cfr. v. 1069. 1040. *ἐρχομένου* KO.

Δεῦρο σὺν αὐλητῆρι παρὰ κλαίοντι γελῶντες
πίνωμεν, κείνου κήδεσι τερπόμενοι.

Εὕδωμεν· φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει
ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δέ τοι οἷά τε παιδὶ πατὴρ ὑποθήσομαι αὐτός
ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ.

Μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
σῇ φρενὶ βούλευσαι σῷ ἀγαθῷ τε νόῳ.
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σύ
αὔλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
σοὶ καὶ ἐμοὶ καὶ μὴν ἀμφιπερικτίοσιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
γιγνώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσιν
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

1041 sq. Welckero Parodia v. 426. 27. 1049. Vulgo *σοὶ δὲ οἷά τε*: A *τω*: *κεν* EL: *σοὶ δὲ δὴ* Jacobsius. 1050. *βάλευ* A: vulgo *βάλε*. 1051. *πράξῃς* AK. *βαθείῃ φρενί* Dissen. Pind. Nem. IV, 8. 1053. Sic A: vulgo *μαρναμένων μάχεται*. 1058. *καὶ μὴν*] A *μὲν δ'*: CG *μὴν καί*: *νῦν* KO: reliqui *μήν*. 1059. Libri *τιμᾳ γὰρ ἀπόλλων*: emendavit Camerarius.

Ἐν δ᾽ ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν,
  ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον,
ἔστι δὲ κωμάζοντα μετ᾽ αὐλητῆρος ἀείδειν.
  τούτων οὐδέν τοι ἄλλ᾽ ἔπι τερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί. τί μοι πλοῦτός τε καὶ αἰδώς;
  τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
  κλαίουσ᾽, οὐδ᾽ ἥβης ἄνθος ἀπολλύμενον.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος
  συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ᾽ ἐφέπου, τοτὲ δ᾽ ἀλλοῖος πέλευ ὀργήν·
  κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
  γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
  οὐ ξυνετὰ θνητοῖς πείρατ᾽ ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
  οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
  ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

Οὕτω χρὴ τόν γ᾽ ἐσθλὸν ἐπιστρέψαντα νόημα
  ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ· οὐ γὰρ ἐπίστῃ
  τοῦθ᾽ ἔρδειν ὅ τι σοι μὴ καταθύμιον ᾖ.

1063. Sic A: vulgo παρὰ μὲν ξυνομήλικι κάλλιον εὕδειν. 1066. τοι om. A: τι EKLO: Epkema οὐδέν τοι τούτων ἄλλ᾽ ἐπιτερπνότερον. 1071. Cfr. 213 sqq. 1072. Cfr. 312. 1077. Plerique ὀρφνή: Schol. Pind. Ol. I, 115. Ὄρφνη, ἡ νύξ, βαρυτόνως· ὀρφνὴ δὲ νύξ, ἀντὶ τοῦ σκοτεινή, ἐπιθετικῶς, ὀξύνεται. 1079. Pindar. Pyth. IX, 97. 1080. Cfr. 39. 1085. Sic Welckerus: vulgo δῆμον δ᾽ ἀξιοῖ: A Δήμων ἀξιοῖ δὲ.

Κάστορ καὶ Πολύδευκες, οἵ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γιγνώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.
σκέπτεο δὴ νῦν ἄλλον· ἐμοί γε μὲν οὔτις ἀνάγκη
τοῦθ' ἔρδειν. τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥστε πετεινόν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών,
βρόχον ἀποῤῥήξας. σὺ δ' ἐμῆς φιλότητος ἁμαρτών
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.

Ὅςτις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Boissonadius: *Δημῶναξ, εἶ π. φ. βαρύς.* *βαρύ* A: reliqui *βαρύς.* De forma *ἐπίστῃ* v. Intpp. Soph. Phil. 798. Lobeck. Phryn. 359 sq. Matth. Gr. p. 457. 1095. Pro toto hoc *σκέπτεο δὴ νῦν ἄλλον* infra post 1160. est *ὦ νέοι, οἱ νῦν ἄνδρες.* Hoc distichum Welckerus cum sqq. in unum conflavit. 1096. *χάριν τίθεσθαι* Welckerus explicat *ποιῆσαί τι ἐν χάριτι, χαρίζεσθαι.* Camerarius: *Οὐ γὰρ εἶναι αὐτῷ ἀνάγκην, ἤγουν οὐκέτι δοκεῖν ὑπηρετῆσαι ἐκείνῳ, ἐφ' οἷς πρότερον χάριν οἶδε.* 1098. Graefius *ἐκ λινέης νεφέλης*: Welckero *λίμνη* aucupum videtur esse vocabulum incognitum. 1099. *βρόγχον* aliquot libri: Scaliger et Schaeferus *βρόκχον* voce efferendum praecipiunt: v. Matth. Gr. p. 69. Hermann. El. D. M. 60. 1100. Camerarius: *Ἀλλὰ σὺ στερηθεὶς τῆς ἡμετέρας φιλίας ὀψέ ποτε γνώσῃ, ὡς ἐχέφρων καὶ ἀρτιόφρων καὶ εὐγνώμων ἤμην.* Cfr. 1241 sq. 1305 sqq. 1101. Camerarius: *Ἀτελὲς τὸ ἐλεγεῖον. μέμψασθαι δὲ δοκεῖ τινα αἴτιον γεγονότα τῆς διαλύσεως τῆς τοῦ δεῖνα πρὸς τὸν ποιητὴν φιλίας. οὐκ εὖ συνεβούλευεν, ἢ ὄλοιτο, φησίν, ὁ συμβουλεύσας σοι ἀπολιπόντα ἐμὲ φοιτᾶν σὲ πρὸς ἄλλον.* Cfr. 1239 sq. 1262. Boissonadius *χὤστις* conjicit, ut sqq. adhaereant.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα
καὶ Σμύρνην. πάντως Κύρνε καὶ ὔμμ' ἀπολεῖ.

Εἰς βάσανον δ' ἐλθών, παρατριβόμενός τε μολίβδῳ,
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός! καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος δεινὰ παθὼν γενόμην.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Χρήματ' ἔχων πενίην μ' ὠνείδισας. ἀλλὰ τὰ μέν μοι
ἔστι, τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
σὺν σοὶ καὶ κακὸς ὢν γίγνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
Λητοΐδης καὶ Ζεύς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε. πέπονθά τοι οἷά τ' Ὀδυσσεύς,
ὅστ' Ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ θυμῷ
Πηνελόπης ἔμφρων, κουριδίης ἀλόχου,

1103. Athen. XII, 525, C. Cfr. supra 603. 1104. Sic A: reliqui *ὑμᾶς ὀλεῖ, ὔμμας ὀλεῖ.* Welckerus *ἄμμ' ἀπολεῖ* conjiciebat. 1105. Welckero Parodia v. 830 sqq. De puello intellige. 1108. *φίλοις ὁ πόνος* A. *δειλά* libri omnes. 1115. *τεμεμοι* A: *τὰ μέντοι* AO: *ταῦτα μέν μοι* F. 1118. *γίγνεται* AKO: reliqui *γίγνομαι.* 1121. *βίον*] *δίκηι* A. 1123. *μίμνησκε* A: reliqui *μέμνησθε.* 1124. *αιδεω* A: reliqui *ἀΐδου.* 1125. *ἀνείλατο νηλέϊ θυμῷ* A: reliqui *ἀνείλετο νηλέϊ χαλκῷ.* *Ἀνείλατο* recepit Boissonadius: v. Lobeck. Phryn. 183. Buttm. Gr. Max. I, 417.

ἤ μιν δήθ' ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
  ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.

Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων,
  οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.

Ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
  κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
  ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
  ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
  Σωφροσύνη· Χάριτές τ' ὦ φίλε γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
  οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
  οὐκέτι γιγνώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
  εὐσεβέων περὶ θεοὺς Ἐλπίδα προςμενέτω,
εὐχέσθω δὲ θεοῖσι κατ' ἀγλαὰ μηρία καίων,
  Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.

1127. ἤ μιν A: reliqui ἥ μέν. παρά A: reliqui πρός. 1128. δειμαλέους γε μυχούς septem libri: Wassenberghius ingeniose ὄφρ' Ἰθάκης ἐπέβη δαιδαλέου τε μυχοῦ (μυχὸν δαιδάλεον dici ratus *thalamum eleganter et affabre structum*). Μυχοὺς intellige a procis occupatos: casus mutari oportebat ut in diverso intellectu: ἐπιβαίνειν τι est Homer. Il. *O*, 226. Odyss. *E*, 50. Ceterum A δειλαλέους. 1129. Sic A: ἐλπίομαι K: reliqui εἰ πίομαι. Vulgo cum Stobaeo Οὔτε γε μὴν πενίης — μελεδαίνω. Scriptura A Welckero inde orta videtur, quod sententia in poculis adhiberetur. Post 1130. Boissonadio lacuna videtur esse. 1131. Mimnermea sententia. 1135 sqq. Cfr. Hesiodi Opp. 199 sqq. 1136. Libri Οὔλυμπον. 1141. ἔφθιται Schaeferus. 1145. κατ' ἀγλαὰ μ. καίων Schaeferus: libri καὶ ἀγλαὰ μ. κ. 1146. δὲ πρώτῃ Geelius.

φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις,
ὣς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι Κύρνε δίδου.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
ἐν μέσσῳ στηθέων ἐν συνετοῖς φύεται.

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποθ' ὁμάρτει,
εὖτ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἐπ' ἐμπορίην.

Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

1148. *οὐδέν* A: reliqui *μηδέν*. 1161. *παισὶν καταθήσειν* AO: voluerunt *καταθήσῃ*. Cfr. 409. 10., quorum versuum hanc Parodiam esse censet Welckerus. 1161. *εὐξύνετος* Stobaei codex A: *οὐ συνετοῖς* Theognidis A: hinc Geelius *εὐσυνετοῖς*. 1166. *οδους τελεῆι τέρματ' ἐπεμπορίην* A: *τέρματά τ' ἐμπορίης* octo libri: *τέρματ' ἐμπορίης* duo. 1167. *ἐσθλὰ δ' ἔοργε*, int. *ἡ ἀπόκρισις*, Geelius.

Ἐκ κακεταιρίης κακὰ γίγνεται· εὖ δὲ καὶ αὐτός
γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.

Γνώμην Κύρνε θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην·
ἀνθρώπου γνώμῃ πείρατα παντὸς ἔχει.
ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσίν. ἦ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
ἐστι. κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔτι κάκιον·
πᾶσα γὰρ ἐκ τούτων Κύρνε πέλει κακότης.

Εἴκ᾽ εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε! μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.

Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ᾽ ἔρδειν μήτε λέγειν ἀσεβῆ.

Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι
οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.

Νοῦς ἀγαθὸς καὶ γλῶσσα, τάτ᾽ ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὐδένα Κύρν᾽ αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ᾽ ἐφορῶσ᾽ ᾧ μὴ μῶμος ἐπικρέμαται.

Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ᾽ ἐπὶ τέρμα βάλοι.
οὐδ᾽ ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπει,
θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι.

1170. *μεγάλως* Camerarius. 1171. Bekkerus malit *ἄριστον.* 1173. *ἆ μάκαρ* Naekius Choeril. 106. 1176. *τούτου* Camerarius: totum distichum Geelius sibi persuadere nequit esse a Theognide. 1177. *εἴκ᾽* libri plerique: legebatur *εἴθ᾽*. 1178. *μεγίστης κεν πείρατ᾽ ἔχοις ἀρετῆς* Geelius malit. 1181 sq. Welckero Parodia v. 682 sq. 1189. *πέμπῃ* A. 1190. *οὐλομένας προφ.* Aug. Matthiae. *προφυγῃ* A: reliqui *προφυγεῖν*. Vulgata est a Turnebo.

Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
τεθνεώς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.
ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον στρῶμα θανόντι·
τὸ ξύλον ἢ σκληρὸν γίγνεται ἢ μαλακόν.

Μήτι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτόν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

Ὄρνιθος φωνὴν Πολυπαΐδη ὀξὺ βοώσης
ἤκουσ', ἥτε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου,
*τῆς * ἄλλης μνηστῆς εἵνεκα ναυτιλίης.*

Οὐκ εἰμ', οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται, οὐδ' ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο
οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.

1193. *δέ* A: *γε* E: multi ignorant particulam. Vide Wernick. Tryphiod. 175. Boissonadius: *ἀσπάλαθοι δὲ τάπησιν ὁμοῖον· στρῶμα θανόντι τὸ ξύλον κτλ.* 1195. *Μήτι* A: vulgo *μήτε.* 1197. Hesiod. Opp. 450. 1198. *ἀρότου* A: reliqui *ἀρότρου.* 1199. Dissen. Pind. Frgmm. p. 672. 1201. *κυφὸν — ἄροτρον* AKO. 1202. Sic libri: Brunckius *τῆς αἰεὶ χαλεπῆς* vel *τῆς πάντα σμυγερῆς*: Welckerus *τῆς αἰειμνήστης semper memorabilis, non obliviscendae, tristissimae.* Boissonadius *ἄλλοις* facile esse conjectu, interpretationem dubitabilem. Ceterum *ἄλης* L: *μνησθῆς* C Aldus. Referunt ad infelicem navigationem, quia poeta absente bona ejus direpta fuerant. Camerarius autem: *Διὰ τὴν ἐπιπόθητον καὶ ἐγγυηθεῖσαν ταῖς ἐλπίσι πραγματείαν, ἢ οὐκ οἶδ' ὅ τι γε καὶ ἄλλο, τῆς γραφῆς ὑπόπτου οὔσης.* 1203. *Οὐκ εἶμι* scil. *κληθεὶς ὑπ' ἀνδρὸς τυράννου. κικλήσεται* libri plerique: *κεκλαύσεται* Brunckius. 1204. *ὑπό* A: reliqui *ἐπί.* 1205. *τεθνειότος* AO: *τεθνηκότος* G. Vide Buttmann. Gr. Max. II, 16. 1206. *δάκρυα θερμὰ βάλοι* Passovius.

Οὔτε σε κωμάζειν ἀπερύκομεν οὔτε καλοῦμεν·
ἀρπαλέος παρεών, καὶ φίλος, εὖτ' ἂν ἀπῇς.

Αἴθων μὲν γένος εἰμί, πόλιν δ' εὐτείχεα Θήβην
οἰκῶ, πατρῴας γῆς ἀπερυκόμενος.

Μή μ' ἀφελῶς παίζουσα φίλους δέννα ζε τοκῆας,
Ἄργυρι. σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ' ἄλλα μέν ἐστι γύναι κακὰ πόλλ', ἐπεὶ ἐκ γῆς
φεύγομεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
οὐδ' ἡμᾶς περνᾶσι· πόλις γε μέν ἐστι καὶ ἡμῖν
καλή, Ληθαίῳ κεκλιμένη πεδίῳ.

Μή ποτε πὰρ κλαίοντα καθεζόμενοι γελάσωμεν,
τοῖς αὐτῶν ἀγαθοῖς Κύρν' ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενεῖ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥάδιον ἐξαπατᾶν.

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσιν
πταίσματα τῆς γνώμης Κύρνε ταρασσομένης.

Οὐδὲν Κύρν' ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

1207. Sic A: reliqui *ἀπερύκομαι* et *καλοῦμαι*. 1208. Libri *ἀργαλέος γὰρ ἐών: ἀρπαλέος* Bergkius apud Zimmermann. Diar. Philoll. 1835, 39. p. 317. *παρεών* Camerarius. 1211 sqq. Welckerus: »Equidem et hic sirpum video eoque significari puto *Theognidem poetam.* Quadrant in eum et parentes nobiles, quorum dignitatem Argyris minoris quam par esset aestimat, et exsilium, et quod servile nihil ei inesse dicitur, ut ipse ait 530. *οὐδ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.* Sub Argyri — quam Vinetus pro uxore poetae habebat — latent divites e plebe, quos servilem animum nondum exuisse plus semel innuit. Denique *Ληθαῖον πεδίον* ad oblivionem spectat, doloris remedium, quo sese consolatur.« 1215. *οὔθ'* libri. *γε* A: reliqui *δέ*. 1217. Sic A: reliqui *κλαίοντι, κλαίουσι.* 1219. Libri *δυσμενῆ:* emendavit Bergkius apud Zimmermann. Diar. Philoll. 1835, 39. p. 316. Versus 1221—1230. absunt a codicibus; addidit eos e Stobaeo et Athenaeo Vinetus.

Οὐδὲν Κύρν' ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
μάρτυς ἐγώ, σὺ δ' ἐμοὶ γίγνου ἀληθοσύνης.

Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.

Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρός,
τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

Σχέτλι' Ἔρως, μανίαι σ' ἐτιθηνήσαντο λαβοῦσαι.
ἐκ σέθεν ὤλετο μὲν Ἰλίου ἀκρόπολις,
ὤλετο δ' Αἰγείδης Θησεὺς μέγας, ὤλετο δ' Αἴας,
ἐσθλὸς Ὀϊλιάδης, σῇσιν ἀτασθαλίαις.

Ὦ παῖ, ἄκουσον ἐμεῦ δαμάσας φρένας. οὔ τοι ἀπειθῆ
μῦθον ἐρῶ τῇ σῇ καρδίῃ οὐδ' ἄχαριν.
ἀλλὰ τλῆθι νόῳ συνιδεῖν ἔπος. οὔ τοι ἀνάγκη
τοῦθ' ἔρδειν ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Πολλάκι τοι παρ' ἐμοὶ κατὰ σοῦ λέξουσι μάταια
καὶ παρὰ σοὶ κατ' ἐμοῦ. τῶν δὲ σὺ μὴ ξύνιε.

Χαιρήσεις τῇ πρόσθε παροιχομένῃ φιλότητι,
τῆς δὲ παρερχομένης οὐκέτ' ἔσῃ ταμίης.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ' ἄλλοισιν ὁμιλεῖν,
ἦθος ἔχων δόλιον, πίστεος ἀντίτυπον.

1225 sq. Grotius: *Hoc ego verum conscius et testis sum tibi tuque mihi.* 1227. Mimnermi fr. 8. 1229. Athen. VIII, 457, B. *Σημαίνει γὰρ κόχλον.* Hesychius v. *Κόχλος· τοῖς θαλαττίοις κόχλοις ἐχρῶντο πρὸ τῆς τῶν σαλπίγγων εὑρήσεως.* 1231 sqq. usque ad finem ex codice A protraxit Bekkerus, ubi *ἐλεγείων β'* inscripti sunt versus. 1231. *Μανίαι* Welckerus. 1232. Corrigebant *μήν, μέν γ'.* Sed v. Hermann. Viger. 827. Recte Boissonadius *Pronunciabant*, inquit, *puto μένν.* 1237. *συνιεῖν* Lachmannus. 1238. Vide 1086. Welckero singula fere verba hujus tetrastichi ex seria poesi decerpta ad ludibrium deflexa videntur. 1243. *ομιλει* A: cfr. 597.

Οὔποθ' ὕδωρ καὶ πῦρ συμμίξεται· οὐδέ ποθ' ἡμεῖς
πιστοὶ ἐπ' ἀλλήλοις καὶ φίλοι ἐσσόμεθα.

Φρόντισον ἔχθος ἐμὸν καὶ ὑπέρβασιν, ἴσθι δὲ θυμῷ
ὥς σ' ἐφ' ἁμαρτωλῇ τίσομαι ὡς δύναμαι.

Παῖ, σὺ μὲν αὔτως ἵππος ἐπεὶ κριθῶν ἐκορέσθης,
αὖθις ἐπὶ σταθμοὺς ἤλυθες ἡμετέρους,
ἡνίοχόν τε ποθῶν ἀγαθὸν λειμῶνά τε καλὸν
κρήνην τε ψυχρὴν ἄλσεά τε σκιερά.

Ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.

Ὅςτις μὴ παῖδάς τε φιλεῖ καὶ μώνυχας ἵππους
καὶ κύνας, οὔποτέ οἱ θυμὸς ἐν εὐφροσύνῃ.

Ὦ παῖ, ἰκτίνοισι πολυπλάγκτοισιν ὁμοῖος
*ὀργήν, ἄλλοτε τοῖς ἄλλοτε * τοῖσι φιλεῖν.*

Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλός, ἀλλ' ἐπίκειται
καρτερὸς ἀγνώμων σῇ κεφαλῇ στέφανος·
ἰκτίνου γὰρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος,
ἄλλων ἀνθρώπων ῥήμασι πειθόμενος.

Ὦ παῖ, ὅς εὖ ἔρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,
οὐδέ τις ἀντ' ἀγαθῶν ἐστὶ χάρις παρὰ σοί·
οὐδέν πώ μ' ὤνησας· ἐγὼ δὲ σὲ πολλάκις ἤδη
εὖ ἔρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.

Παῖς τε καὶ ἵππος ὁμοῖον ἔχει νόον. οὔτε γὰρ ἵππος
ἡνίοχον κλαίει κείμενον ἐν κονίῃ,

1246. »Fort. *ἔτ'*.« Bekkerus. 1249. Passovius post *αὔτως* incidi volebat. Cfr. 1361. 1253 sq. Solonis Eleg. fr. 12. 1255 sq. Imitatio versuum Soloneorum. 1257. *ἰκτίνοισι* Welckerus: libri *κινδύνοισι*. Cfr. 1261. 1302. 1258. *φίλην* Boissonadius. Forsitan *τοῖς φίλος εἶ*. 1262. Cfr. 1152. Scripsi *ἄλλων* cum A: supra *δειλῶν*.

ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει κριθαῖσι κορεσθείς·
ὡς δ' αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

Ὦ παῖ, μαργοσύνης ἀπὸ μὲν νόον ὤλεσας ἐσθλόν,
αἰσχύνη δὲ φίλοις ἡμετέροις ἐγένου,
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυελλῶν
ἧκά γ' ἐνωρμίσθην νυκτὸς ἐπειγόμενος.

Ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη.
τῆμος Ἔρως προλιπὼν Κύπρον, περικαλλέα νῆσον,
εἶσιν ἐπ' ἀνθρώπους σπέρμα φέρων κατὰ γῆς.

Οὐκ ἐθέλω σε κακῶς ἔρδειν, οὐδ' εἴ μοι ἄμεινον
πρὸς θεῶν ἀθανάτων ἔσσεται, ὦ καλὲ παῖ.
οὐ γὰρ ἁμαρτωλαῖσιν ἐπὶ σμικραῖσι κάθημαι,
τῶν δὲ καλῶν παίδων * ουτοσετουτ' ἀδικων.

Ὦ παῖ, μή μ' ἀδίκει· — ἔτι σοι καταθύμιος εἶναι
βούλομαι, — εὐφροσύνῃ τοῦτο συνεὶς ἀγαθῇ.
οὐ γάρ τοί με δόλῳ παρελεύσεαι οὐδ' ἀπατήσεις·
νικήσας γὰρ ἔχεις τὸ πλέον ἐξοπίσω.
ἀλλά σ' ἐγὼ τρώσω φεύγοντά με, ὥς ποτέ φασιν
Ἰασίου κούρην, παρθένον Ἰασίην,
ὡραίην περ ἐοῦσαν, ἀναινομένην γάμον ἀνδρῶν
φεύγειν· ζωσαμένη δ' ἔργ' ἀτέλεστα τέλει,
πατρὸς νοσφισθεῖσα δόμων, ξανθὴ Ἀταλάντη·
ᾤχετο δ' ὑψηλὰς ἐς κορυφὰς ὀρέων,

1271. *μαργοσυνης απο μεν* A. 1274. *ἐπειγομένης* Passovius. Cfr. 1376. 1279 sqq. Passovio Parodia v. 1247 sq. 1281. *κάθημαι* jocose translatum a re judiciali, *judex consedi.* 1282. Passovius *οὐ τίσις ἀντ' ἀδίκων*: Hermannus *οὔτις ὁ τοῦτ' ἀδικῶν*: Boissonadius *οὐ τίσις οὐδ' ἀδίκων*: Welckerus *οὔτις ἔτ' οὐκ ἀδικῶν.* An *οὐ τίσις οὐδὲ δίκαι?* 1283. Verba *ἔτι* — *βούλομαι* parenthesi inclusi cum Passovio. 1287. Bekkerus conj. *περ*: Lachmannus *μεν*: fort. *γε.* 1290. *φεύγειν.* Hesiodus fr. LXXV. *Ποδώκης δῖ' Ἀταλάντα.* Vide Propert. I, 1, 9.

φεύγουσ' ἱμερόεντα γάμον, χρυσῆς Ἀφροδίτης
δῶρα· τέλος δ' ἔγνω καὶ μάλ' ἀναινομένη.

Ὦ παῖ, μή με κακοῖσιν ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μηδέ με σὴ φιλότης δώματα Περσεφόνης
οἴχηται προφέρουσα. θεῶν δ' ἐποπίζεο μῆνιν
βάξιν τ' ἀνθρώπων, ἤπια νωσάμενος.

Ὦ παῖ, μέχρι τίνος με προφεύξεαι; ὥς σε διώκων
δίζημ'· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
σῆς ὀργῆς. σὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμόν
φεύγεις, ἰκτίνου σχέτλιον ἦθος ἔχων.
ἀλλ' ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν. οὐκέτι δηρόν
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Θυμῷ γνοὺς ὅτι παιδείας πολυηράτου ἄνθος
ὠκύτερον σταδίου, τοῦτο συνεὶς χάλασον
δεσμοῦ, μή ποτε καὶ σὺ βιήσεαι, ὄβριμε παίδων,
Κυπρογενοῦς δ' ἔργων ἀντιάσεις χαλεπῶν,
ὥςπερ ἐγὼ νῦν ὧδ' ἐπὶ σοί. σὺ δὲ ταῦτα φύλαξαι,
μηδέ σε νικήσῃ * παιδαΐδη κακότης.

Οὐκ ἔλαθες κλέψας, ὦ παῖ. καὶ γάρ σε * δίωμαι
τούτοις οἷςπερ νῦν ἄρθμιος ἠδὲ φίλος
ἔπλευ, ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα·
οὐ μὲν δὴ τούτοις γ' ἦσθα φίλος πρότερον.
ἀλλ' ἐγὼ ἐκ πάντων σ' ἐδόκουν θήσεσθαι ἑταῖρον
πιστόν· καὶ δὴ νῦν ἄλλον ἔχεισθα φίλον.

1295. ὀριναις A. 1296. Passovius δώματι aut δώμασι. Il. Z, 345. Ὥς μ' ὄφελ', . . . οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα. 1301. σησοιγη codex: emendavit Hermannus. 1307. χάλασον δεσμοῦ. Similia Mitscherlich. Hor. Carmm. III, 10, 10. 1309. ὧδ'] A οἱ δ'. 1310. Passovius conjicit παιδοφίλη, Boissonadius παιδίον, ἡ φιλότης, Welckerus cum v. παιδαΐδης confert Πλαταΐδης Theodorid. Epigr. 8., Geelius παῖ, δαΐη κακότης. 1311. Hermannus καὶ γάρ σε διῶμμαι: Seidlerus καὶ γάρ δίομαί σε. 1315. θήσεσθαι Seidlerus: A σησεσθαι. 1316. ἔχοισθα A. Seidlerus malit καί τοι νῦν ἄλλον ἔχοισθα.

ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· σὲ δὲ μήτις ἁπάντων
ἀνθρώπων ἐσορῶν παιδοφιλεῖν ἐθέλοι.

Ὦ παῖ, ἐπεί σοι δῶκε θεὰ χάριν ἱμερόεσσαν
Κύπρις, σὸν δ' εἶδος πᾶσι νέοισι μέλει,
τῶνδ' ἐπάκουσον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῷ,
γνοὺς ἔρος ὡς χαλεπὸν γίγνεται ἀνδρὶ φέρειν.

Κυπρογένη, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας
θυμοβόρους, στρέψον δ' αὖθις ἐς εὐφροσύνας,
μερμήρας δ' ἀπόπαυε κακάς, δὸς δ' εὔφρονι θυμῷ
μέτρ' ἥβης τελέσαντ' ἔργματα σωφροσύνης.

Ὦ παῖ, ἕως ἂν ἔχῃς λείαν γένυν, οὔποτε σαίνων
παύσομαι, οὐδ' εἴ μοι μόρσιμόν ἐστι θανεῖν.

Σοί τε διδόντ' ἔτι καλόν, ἐμοί τ' οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν. ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·
αἰδέο μ', ὦ παῖ . . . διδοὺς χάριν, εἴ ποτε καὶ σύ
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Χρῄζων καὶ ἐπ' ἄλλον ἐλεύσεαι· ἀλλά σε δαίμων
δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

Ὄλβιος ὅστις ἐρῶν γυμνάζεται, οἴκαδε δ' ἐλθών
εὕδει σὺν καλῷ παιδὶ πανημέριος.

Οὐκέτ' ἐρῶ παιδός, χαλεπὰς δ' ἀπελάκτισ' ἀνίας,
μόχθους τ' ἀργαλέους ἄσμενος ἐξέφυγον,
ἐκλέλυμαι δὲ πόθου πρὸς ἐϋστεφάνου Κυθερείης·
σοὶ δ' ὦ παῖ χάρις ἔστ' οὐδεμία πρὸς ἐμοῦ.

1318. παιδα φιλειν A: cf. 1345. 1319. ἐπεί σοι Passovius: A τοι. 1323. Passovius Κυπρογόνη conjicit, v. Meinek. Euphor. 64. Bekkerus Κυπρογενές, v. 1386. 1331. Inserunt καλέ, sed Passovio ex v. 1303. aptius videbatur ἐμοὶ δὲ δίδου χάριν. 1333. Cfr. 957 sq. 1335. δ' interposuit Bekkerus. 1336. ευδειν A.

Αἲ αἴ, παιδὸς ἐρῶ ἁπαλόχροος, ὅς με φίλοισιν
πᾶσι μάλ' ἐκφαίνει, κοὐκ ἐθέλοντος ἐμοῦ.
τλήσομαι οὐ κρύψας ἀεκούσια πολλὰ βίαια·
οὐ γὰρ ἐπ' αἰκελίῳ παιδὶ δαμεὶς ἐφάνην.

Παιδοφιλεῖν δέ τι τερπνόν, ἐπεί ποτε καὶ Γανυμήδους
ἤρατο καὶ Κρονίδης, ἀθανάτων βασιλεύς,
ἁρπάξας δ' ἐς Ὄλυμπον ἀνήγαγε, καί μιν ἔθηκεν
δαίμονα παιδείης ἄνθος ἔχοντ' ἐρατόν.
οὕτω μὴ θαύμαζε, Σιμωνίδη, οὕνεκα κἀγώ
ἐξεμάνην καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέῳ.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνής,
ὄφρα τέλειος ἔῃ Κύρνε νέοισιν ἔρως.
ἢν μὲν γὰρ τελέσῃ, γλυκὺ γίγνεται· ἢν δὲ διώκων
μὴ τελέσῃ, πάντων τοῦτ' ἀνιηρότατον.

Αἰεὶ παιδοφίλησιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.

Χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα
ὥςπερ κληματίνῳ χεῖρα πυρὶ προςάγειν.

Ναῦς πέτρῃ προςέκυρσας ἐμῆς φιλότητος ἁμαρτών,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου.

Οὐδαμά σ' οὐδ' ἀπεὼν δηλήσομαι· οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων ὥστε με μή σε φιλεῖν.

1342. *με — κοὐκ ἐθέλοντος ἐμοῦ.* Vide Matth. Gr. §. 561. 1343. *ἀεκούσια* Welckerus et Boissonadius: A *ἀέκουσι.* 1344. Boissonadius confert Homer. Odyss. Θ, 231. *Λίην γὰρ ἀεικελίως ἐδαμάσθην Κύμασιν ἐν πολλοῖς.* 1350. J. C. Orellius *ἐξεμάνην.* Legebatur *ἐξεδάμην.* 1353. Cfr. v. 301. 1363. Sic cum Boissonadio scripsi: Bekkerus *οὐδαμὰ σοῦ δ' ἀπεὼν δηλήσομαι.*

Ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ᾽ αὐτοῦ καί μου παῦρ᾽ ἐπάκουσον ἔπη.

Παιδός τοι χάρις ἐστί, γυναικὶ δὲ πιστὸς ἑταῖρος
οὐδείς, ἀλλ᾽ αἰεὶ τὸν παρεόντα φιλεῖ.

Παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ᾽ ἀποθέσθαι·
πολλὸν δ᾽ εὑρέσθαι ῥήτερον ἢ τελέσαι.
μυρία δ᾽ ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ᾽ ἐσθλά·
ἀλλ᾽ ἔν τοι ταύτῃ καί τις ἔνεστι χάρις.

Οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ᾽ ὑπὸ πᾶσαν
αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην.

Ὄλβιος ὅςτις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,
οὐδέ οἱ ἐν πόντῳ νὺξ ἐπιοῦσα μέλει.

Καλὸς ἐὼν κακότητι φίλων δειλοῖσιν ὁμιλεῖς
ἀνδράσι, καὶ διὰ τοῦτ᾽ αἰσχρὸν ὄνειδος ἔχεις,
ὦ παῖ· ἐγὼ δ᾽ ἀέκων τῆς σῆς φιλότητος ἁμαρτών,
ὠνήμην ἔρδων οἷά τ᾽ ἐλεύθερος ὤν.

Ἄνθρωποί σ᾽ ἐδόκουν χρυσῆς παρὰ δῶρον ἔχοντα
ἐλθεῖν Κυπρογενοῦς.

Κυπρογενοῦς δῶρον ἰοστεφάνου
γίγνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,
ἂν μὴ Κυπρογενὴς δῷ λύσιν ἐκ χαλεπῶν.

Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοί τι περισσὸν
Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν.
δαμνᾷς δ᾽ ἀνθρώπων πυκινὰς φρένας, οὐδέ τίς ἐστιν
οὕτως ἴφθιμος καὶ σοφὸς ὥστε φυγεῖν.

Alius V. D. οὐδαμὰ δ᾽-οὐδ᾽ ἀπεὼν σέο λήσομαι. Cfr. 1279. Ceterum cum Welckero distichum diremi. 1365. Cfr. 1117.
1382. 83. A conjunctim ἐλθεῖν κυπρογενοῦς δῶρον ἰοστ. Dispescuit Bekkerus. 1385. Fort. ἢν μή. 1386. κυπρόγενες κυθειρα A. Hinc Passovius malit Κυπρογένεια Κύθειρα, cll. Jacobs. Anth. Pal. 606.

VIII. Ionis Chii.

Olymp. LXXXII, 2.

Scholiasta Aristoph. Pac. 830. cll. Suida v. Ἴων et v. Διθυραμβοδιδάσκαλος et Harpocratione s. v.: Ἴων ὁ Χῖος, διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. — περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ καὶ κωμῳδίας καὶ ἐπιγράμματα καὶ παιᾶνας καὶ ὕμνους καὶ σκόλια καὶ ἐγκώμια καὶ ἐλεγεῖα καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον, ὃν νόθον ἀξιοῦσί τινες καὶ οὐχὶ αὐτοῦ. φέρεται δὲ αὐτοῦ καὶ κτίσις καὶ κοσμολογικὸς καὶ ὑπομνήματα καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. φασὶ δὲ αὐτὸν ἐν τῇ Ἀττικῇ νικῆσαι καὶ εὐνοίας χάριν προῖκα Χῖον οἶνον πέμψαι Ἀθηναίοις. Σωκράτους δὲ τοῦ φιλοσόφου ἔστιν εἰς αὐτὸν λόγος λεγόμενος Ἴων· μέμνηται αὐτοῦ καὶ Καλλίμαχος ἐν τοῖς χωλιάμβοις, ὅτι πολλὰ ἔγραψεν. υἱὸς δὲ ἦν Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς ὀγδοηκοστῆς δευτέρας Ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ δώδεκα, οἱ δὲ τριάκοντα, ἄλλοι δὲ τεσσαράκοντά φασιν.

I. Ἐλεγεῖαι.

1.

Θυρσοφόροισι φίλος μέγα πρεσβεύων Διόνυσος·
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον

Ionis Chii Fr. 1. Athenaeus X, 447, D. *Τῷ δ' ἡμετέρῳ χορῷ* (libri *χρόνῳ*) *οἶνος φίλος ὢν θυρσοφόροις* (libri *θυρσοφόρος*), *μέγα πρεσβεύων Διόνυσος, φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς ἐλεγείοις, αὕτη γὰρ κτλ.* Unde primum versum concinnavit Casaubonus. Exponit poeta, quot et quanta bona vini inventio humano generi procreaverit. 2. *λόγια, hilares convivantium sermones.* V. Lobeck. Phryn. 198.

πτόρθον ἀνασχομένη θαλερῷ * ἐπτήξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ
παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ,
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται μόνον ὄλβιον ἀνθρώποισι,
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές·
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τοῦ σὺ πάτερ Διόνυσε φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε· δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν.

2.

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε,
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες

---

5. ἐπτήξατο PVL: ἐπήξατο C: ἐξήψατο Nieberdingius: ἐπτύξατο Casaubonus, quod Hermannus in Zimmermanni Diar. Philoll. 1837, 39. p. 324. ita probat, ut praeterea reponat αἰθέρ'· ἀπ' ὀφθαλμῶν κτλ. Verum videtur quod conjecit Lobeckius Paralipp. Gramm. Gr. 450. ἐπορέξατο. 7. De uvis calcandis loquitur, quae in torcular conjectae strepitum edunt. 9. πότον ὄλβιον Jacobsius. Ibidem αὐτοφυὲς illustrant cll. Homer. Od. Δ, 220. νέκταρ ἀμέλγονται, *nectareus inde latex exprimitur.* 12. Intellige: *Harum rerum optimarum* (f. τῶνδ' ἀγ.) *vinum, qui rex est, naturam ostendit,* h. e. haec omnia vinum excitavit. Οἶνον δαιμόνων ὑπέρτατον vocat poeta in Boissonadii Ann. Grr. III, 293.; *Vinum, deus qui est multo maximus* poeta incertus apud Osann. Symboll. I, 71. Ceterum vide Mitscherlich. Hor. II, 707. et Ionis fr. 5, 3. De recludendis secretis pectoris sermo non est. 15. Scribendum puto ἐπιήρανον. In vulgata scriptura αἰῶνα videtur esse *in omnem vitam.* Koepkius πίνειν καὶ παίζειν a v. αἰῶνα suspendit.

Fr. 2. Athenaeus X, 463, B. Ἴων δ' ὁ Χῖός φησι· Χαιρέτω κτλ. 1. Aliis ἡμέτερος βασιλεὺς videtur dici *modimperator,* aliis *rex Lacedaemoniorum,* quod demonstrari putant Proclis mentione infra facta, aliis *qui apparavit convivium,* Osanno Symboll. Hist. Litt. Grr. I, 75. *ipse Jupiter.* Nobis *Bacchus* intelligendus videtur, a cujus invocatione rite ordiantur convivae. Confer I, 10.

κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· ὁ δὲ Χρυσὸς
οἶνον ἔχων χειροῖν νιζέτω εἰς ἔδαφος.
σπένδοντες δ' ἁγνῶς Ἡρακλεῖ τ' Ἀλκμήνῃ τε
Προκλεῖ Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης·
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων ἁδρότερον πίεται.

3.

Ἐν δεκαχόρδῳ δ' αὖ δεκαβάμονα τάξιν ἔχοις ἂν
τὰς συμφωνούσας ἁρμονίης τριόδους·

---

3. *ὁ δὲ Χρυσός.* Litera majuscula a pluribus VV. DD. reposita: *Χρυσὸς* servi nomen erat, qui vinum in terram effundere jubetur, priusquam convivae libarent. Aristoph. Vespp. 1252. *παῖ, παῖ, τὸ δεῖπνον, Χρυσέ, συσκεύαζε νῷν* comparavit Bergkius in Zimmermanni Diar. Philoll. 1834, 53. p. 428. et Osannus l. c. I, 73. Lobeckius ad Soph. Ajac. p. 223. *ὁ δὲ κρήσας*, i. e. *pincerna:* alii alia. 4. Libri *χειρῶν*: emendavit Bentlejus, Lobeckius, Bergkius Anacreont. 241. 5. Propter Alcmenam et Herculem et Persidas Jacobsio Argis convivium celebrari videbatur, Lacedaemone Hermanno aliisque: aliter Welckerus, qui Museo Rhenan. 1836, III. p. 440. haec scripsit: »*Die Spende an Herakles, sammt Alkmena, Prokles und den Persiden, erklärt sich wohl daher, dass Prokles, des Pityreus Sohn, Argeier aus Epidauria nach Ionien führte,* Paus. VII, 4, 3., *so dass also nicht der Spartanische Prokles, sondern der Abkömmling des Ion zu verstehen wäre und die Verehrung des Herakles und der Persiden auf der Herkunft gewisser Familien in Chios von Argeiern beruhte.*«
8. *ἑκὼν δ' ἄρχε φιλοφρ.* ad regem convivii referunt. Recte vero Hermannus ad unumquemque praesentium convivarum. 10. Vulgo *κυδρότερον*: B *ἀνδρότερον*, unde *ἁδρότερον* dedit Dindorfius.

Fr. 3. Euclides Introd. Harmon. 19. Meibom. *Ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῷ ὀνόματι (τόνος) οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων· ὁ μὲν γάρ φησιν·*
Ἡμεῖς τοι τετράγηρυν ἀποστέρξαντες ἀοιδὴν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.
ὁ δέ· Ἐν δεκαχόρδῳ λύρᾳ τὴν δεκαβάμονα κτλ. quod correxit Hermannus l. c. p. 325: *Accusativi, qui sunt in pentametro, appositio sunt ad δεκαβάμονα τάξιν.* In fine versus *ἔχουσα* vulgo: *ἔχεις ἀεὶ τάς, ἔχειν ἀεὶ τάς, ἔχεις ἂν τὰς*

πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
"Ελληνες σπανίην μοῦσαν ἀειράμενοι.

4.

"Ως ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

II. Μέλη.

5.

"Αδαμον παῖδα, ταυρωπὸν, νέον οὐ νέον,
ἥδιστον πρόπολον βαρυγδούπων ἐρώτων,
οἶνον ἀερσίνοον, ἀνθρώπων πρύτανιν.

---

variatur. Emendavit Hermannus. *Δεκαβάμων τάξις* i. e. decem nervi. Cfr. Pherecratem apud Plutarch. Mus. XXX. et Boeckh. de Metr. Pind. 205. 206. 3. *πρὶν μὲν οὖν ἑπτ.* codex Barocc., *πρὸς μὲν ἄρ' ἑπτ.* Coventr. Vulgata a Bryennio est: *πρίν τε γάρ* Bachius. 4. *σπανίαν* legebatur.

Fr. 4. Diogenes Laert. I, 120. *"Ιων δ' ὁ Χῖος περὶ αὐτοῦ* [Pherecyde Syrio] *φησίν· "Ως ὁ μὲν κτλ.*

II. *Μέλη.* Fr. 5. et 6. ex carminibus lyricis petita sunt. Fragmentum 5. servavit Athenaeus II, 35, E. *"Ιων ὁ Χῖός φησιν· "Αδαμον κτλ.* 1. *ταυρωπός* Bacchus, alias *ταυρόμορφος, διὰ τὸ πρὸς βίαν τρέπεσθαι τοὺς ἐξοινωθέντας,* Athen. II, 38, C. *νέον οὐ νέον* vocat vinum aetate recens, vi vetustum. 2. *βαρύγδουποι ἔρωτες* comissationes appellat juvenum vino calidorum versorumque in amores. Ut Bacchus ipse *ἐρίβρομος* vocatur. *Πρόπολος ἐρώτων* est qui excitat amores. 3. *ἀερσίνοον* Casaubonus: B *ἀερσίπνοον.* Vulgo *ἀερσίπνουν. Ἀερσίνοος* est qui animos facit potantibus. Panyasis Ath. II, 36, D. *μή σ' ὕβρις ἐνὶ φρεσὶ θυμὸν ἀέρσῃ. Ἀνθρώπων πρύτανιν,* cfr. Eleg. fr. I, 12.

6.

Οὐδ' ὅγε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅγε δουλοσύνας προβέβουλε.

7.

Ἀοῖον ἀεροφοίταν
ἀστέρα μείνωμεν ἀελίου λευκᾷ πτέρυγι πρόδρομον.

IX. Melanthii Atheniensis.

Olymp. LXXXVIII.

Athenaeus VIII, 343, B: Μελάνθιος ὁ τῆς τραγῳδίας ποιητὴς ἔγραψε καὶ ἐλεγεῖα· κωμῳδοῦσι δ' αὐτὸν ἐπ' ὀψοφαγίᾳ Λεύκων ἐν Φράτορσιν, Ἀριστοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ, ἐν δὲ τοῖς Ἰχθύσιν Ἄρχιππος τῷ δράματι ὡς ὀψοφάγον δήσας πα-

---

Fr. 6. Philo Judaeus II, 466, 31. Mangey. Τοῦ περὶ τοὺς ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων· Οὐδ' ὅγε κτλ. De certaminibus gallorum gallinaceorum v. Platonem Legg. VII, 789, B. Aelian. Varr. Hist. II, 28.

Fr. 7. Schol. Aristoph. Pac. 830. et Suidas s. v. διθυραμβοδιδάσκαλοι. Ἴων ὁ Χῖος ἐποίησεν ᾠδήν, ἧς ἡ ἀρχή· Ἀοῖον κτλ. Παίζων οὖν ὁ Ἀριστοφάνης ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι. 1. Ἁμεροφοίταν Bentlejus: ἠεροφοίτης est i. q. ἠέριος, *matutinus*. Alii *aërivagum* volunt. Similiter de Lucifero Plaut. Menaechm. I, 2, 62. *Inde usque ad diurnam stellam crastinam potabimus.* 2. μείναμεν vulgo: Schol. μείνομεν, Suidas μῆνα μέν: Aldi editio Scholl. μείνωμεν, quod praestat. 3. λευκᾷ πτέρυγι scripsi: libri λευκῇ πτέρυγι, λεπτῇ πτέρυγι: Bentlejus λευκοπτέρυγα. Valer. Flacc. VI, 507. *Qualis roseis it Lucifer alis, Quem Venus illustri gaudet producere caelo.* Vide Vossii Epp. Mythol. II, 1.

Melanthii Atheniensis Elegiarum unum frgm. quod superest, exstat Plut. Cim. IV. Ὁ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων οὐδ' ἀπ' ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα φιλοτιμούμενος πρὸς τὴν πόλιν, ὥς οἵ τε συγγραφεῖς ἱστο-

ῥαδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον. Vide Bergkii Commentatt. de Com. Att. Antiq. Reliq. 340 sq.

Ἐξ ἐλεγείας.

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ' ἡμιθέων ἀρεταῖς.

X. Dionysii Atheniensis.

Olymp. LXXXIV.

Plutarchus Nic. IV. Ἱέρων ἦν ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ, προςποιούμενος δ' υἱὸς εἶναι Διονυσίου τοῦ Χαλκοῦ προςαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν λεγόμενος ἔκτισε Θουρίους. Quidam teste Photio s. v. τὴν εἰς Σύβαριν ἀποικίαν ἀνατιθέασι τῷ Χαλκιδεῖ (Χαλκῷ) Διονυσίῳ. Vide Lobeck. Agl. 980. Osann. Symboll. Hist. Grr. Litt. I, 81 sqq. Bergk. Commentatt. Com. Att. Antiq. 52 sq. Cognominatus est Χαλκοῦς teste Athen. XV, 669, D. διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι, καὶ τὸν λόγον τοῦτον ἀνέγραψε Καλλίμαχος ἐν τῇ τῶν ῥητορικῶν ἀναγραφῇ.

1.

Ὦ Θεόδωρε δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν. ἐγὼ δ' ἐπιδέξια πέμπω

ῥοῦσι καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον· Αὐτοῦ κτλ. Ceterum Melanthius etiam πρὸς τὸν Κίμωνα ἔπαιξε δι' ἐλεγείας, v. Plut. l. c. 2. Vulgo Κεκρ. κόσμησε καὶ ἡμ. ἀγοραῖσιν. Correxit Reiskius.

Dionysii Atheniensis Fr. 1. Ath. XV, 669, D. Καὶ ὁ Δημόκριτος, Ἀλλ' ἵνα κἀγώ, φησί, μνημονεύσω τῶν τοῦ

σοὶ πρώτῳ Χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

2.

Ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι
καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοὶ καὶ τάδε μανθάνετε.

3.

Κότταβον ἐνθάδε σοι τρίτον ἑστάναι οἱ δυςέρωτες
ἡμεῖς προςτίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον· οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες

Χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου, λέξω τι καὶ αὐτὸς ἐκ τῶν ἐλεγείων. σὺ δέ, ὦ Θεόδωρε, τοῦτο γάρ σου τὸ κύριον ὄνομα, δέχου κτλ. Videtur hoc ipsum initium esse Dionysii elegiarum, quas Theodoro alicui dedicasse videtur: nam pentametrum praeposuisse poetam hexametro testis Heraclides Ponticus Ath. XIII, 602, C. Metaphoras, quibus omnia Dionysii carmina referta mirum in modum, a compotationibus repetit. 3. Osannus Symboll. I, 105. *σοὶ προτέρῳ Χαρίτων, tibi vel ante Gratias*, quibus interdum primum poculum effundebatur. At *Χαρίτων χάριτας* cum acumine vocantur *quae Gratiae gratificatae sunt*. 4. *τόδε* Spanhemius: vulgo *τότε. ἀντιπρόπιθι*, Buttmann. Gr. Max. §. 110, not. 4.

Fr. 2. Ath. XV, 669, B. 1. *πευσόμενοι* Casaubonus: libri *πεσσόμενοι*. 2. *καταθέσθαι* B.

Fr. 3. Ath. XV, 668, E. *Μνημονεύει τῶν λατάγων καὶ τῶν κοττάβων καὶ ὁ Χαλκοῦς καλούμενος Διονύσιος ἐν τοῖς Ἐλεγείοις διὰ τούτων· Κότταβον κτλ.* 1 sq. Sermo est de ludo cottabi, quem in gratiam formosi alicujus pueri, sed qui idem durus esset amatoribus, instituunt combibones *δυςέρωτες*. Intellige: *Ut cottabus* (h. l. *κοτταβεῖον*) *in tuam gratiam statuatur, nos misere amantes gymnasio Bacchi* (certamini potationis) *adjicimus κώρυκον*. Sumpta tralatio ab athletarum usu quodam *κωρύκου*, de q. re v. Passov. s. v. Bernhardy in Diar. Litt. Halenss. 1836, Erg. Bl. 113, p. 903. conjicit: *Κότταβος ἐνθάδε σοὶ τρίτος ἑστάναι, ὃν δυςέρωτες κτλ. En hic tertium statutus esto κότταβος*, v. Syntax. 361. 3. Hermannus apud Zimmermann. Diar. Philoll. 1837, 39. p. 326: *Jubet poeta manus in modum calicum cavare. Id Athenaeus* p. 666, C. *συνεστραμ-*

ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσαισθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτέταται.

4.

Ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν,
τόνδε τὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου
* Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

μένῃ τῇ χειρὶ *dicit*, et p. 667, B. ἀγκυλοῦντα γὰρ δεῖ σφόδρα τὴν χεῖρα εὐρύθμως πέμπειν τὸν κότταβον: *eademque pagina, A. Antiphanes:* αὐλητικῶς δεῖ καρκινοῦν τοὺς δακτύλους, οἶνόν τέ μικρὸν ἐγχέαι καὶ μὴ πολύν· ἔπειτ᾽ ἀφήσεις. Verum vox ἐνείρετε videtur Osanni explicationem postulare, ex qua *manus in ansas poculorum inserere* jubentur convivae. Nam interdum ex ipsis poculis latex in cottabium fundebatur, v. Ath. XI, 479, E. XV, 667, E. 4. Videtur is, ad quem supra σοί, h. l. ἐκεῖνος refertur, impediturus fuisse cottabum, si vidisset jaculaturos esse vinum praemio fortasse osculo constituto. Absona conjectura ἰεῖν. 5. βηματίσαισθε AB: βηματίσασθε PVL. κατακλείνην AB: κατὰ κλίνην P: pessime κατακλινῇ VL. Jubentur convivae oculis metiri spatium inter lectulum, in quo quisque decumbebant, et vas, in quod jaculari vinum oporteret, quamque alte, ut recte ferirent, jaciendum esset vinum. 6. Bernhardy l. c. εἶθ᾽ ὅσον conjicit. ἐκτέταται. De schemate Pindarico v. Dissen. Pind. Ol. X, 6. Frgmm. p. 619. Matth. Gr. §. 303. Aliter Bernhardy l. c. explicat, conferri jubens Syntax. 422. At hujus loci plane alia ratio est quam eorum de quibus eo l. sermo.

Fr. 4. Ath. XV, 668, F. Ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ᾔτει πιεῖν μεγάλῃ κύλικι ἐπιλέγων ἐκ τῶν αὐτῶν ἐλεγείων καὶ τόδε· Ὕμνους κτλ. Excitat poeta convivas ad celebrandum cantibus vetustum vinum (τὸν ἀρχαῖον τηλεδαπόν τε φίλον). *Οἰνοχοεῖν* unde pendeat obscurum est. 3. Vide Choerili fr. VIII. p. 163 sqq. Naeke. Sumptae imagines a re nautica. 5. Phaeacem oratorem celeberrimum intelligunt, cujus δεξιότητι λόγου tanquam summo exemplo poeta convivas instigaverit. Vide Osann. l. c. 135 sqq. Bergkius Commentatt. Com. Att. Antiq. 338 sq. ad calliditatem et versutiam Phaeacis refert. Alii de Phaeacibus cogitant: parum probabiliter utrique. Latet ulcus. Bernhardy l. c. desiderat adjectivum, ut φλύακος, et πέμποι scribit.

5.

Καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίῃ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται
** * περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλε.*

6.

Τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον;

XI. Eueni Parii.

Olymp. XCII.

Harpocration 88, 17. Bekker. *Εὐηνός. Δύο ἀναγράφουσιν Εὐηνοὺς ἐλεγείων ποιητὰς ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῷ περὶ χρονογραφιῶν, ἀμφοτέρους λέγων Παρίους εἶναι· γνωρίζεσθαι δέ φησι τὸν νεώτερον μόνον· μέμνηται δὲ θατέρου αὐτῶν καὶ Πλάτων* (Phaed. 60, D. Phaedr. 267, A. Apol. Socr. 20, B.)

Fr. 5. Ath. X, 443, C. *Ὁ Ποντιανὸς ἔφη πάντων τούτων εἶναι τῶν δεινῶν μητρόπολιν τὸν οἶνον, δι' ὃν καὶ τὰς μέθας καὶ τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας γίγνεσθαι· οὗ τοὺς ἐκπαθῶς μεταλαμβάνοντας οὐ κακῶς ὁ Χαλκοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις κυλίκων ἐρέτας ἔφη· Καί τινες κτλ.* Loquitur poeta de convivis vinum apportantibus. De metaphora v. fr. 4. 1. *καὶ τίνες* (*τινες* P) BP: *καὶ πίον* Dindorfius conjicit. 3. Videntur Dindorfio paullo plura quam initium versus excidisse.

Fr. 6. Ath. XV, 702, C. *Κατὰ τὸν Χαλκοῦν Διονύσιον· Τί κτλ.* Sumpsit a Pindaro fr. Prosod. 59. (Aristoph. Eqq. 1270.) *Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν, ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;* De formula v. Hesiod. Theog. 48.

1.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει·
Καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
»Σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.«
Τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾷστης εἰσὶ διδασκαλίας.

2.

Βάκχου μέτρον ἄριστον ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.
χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος.

Eueni Parii Fr. I. Athen. IX, 367, E. *Σιωπῶντος οὖν τοῦ Οὐλπιανοῦ, Ἀλλ' ἐγώ, φησὶν ὁ Λεωνίδης, εἰπεῖν εἰμὶ δίκαιος, πολλὰ ἤδη σιωπήσας· Πολλοῖς δ' ἀντιλέγειν μὲν, κατὰ τὸν Πάριον Εὐηνόν, ἔθος κτλ.* 1. *μέν* accessit ex Stobaeo Floril. LXXXII, 3. qui versus quattuor priores attulit. 2. *ἐν ἔθει* Stobaeus: Ath. *ἐθέλει.* 3. Athenaeus *τούτοις.* 4. Ath. X, 429, F. vulgo *δοκοῦντ' ἐστίν*: sed AP *δοκοῦντ' ἐστ'*: B *δοκοῦντες τ'*: C *δοκοῦντι.* Et *δοκοῦντ' ἐστίν* Stobaeus: ex A correctum est. Eurip. Suppl. 466. *Σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀντία.* 6. *εἰσί* VL: ABP *εἰς.* Dicit poeta, qui sapiant, propterea quod facillime se doceri patiantur, celeriter adduci ad concedendum, si quis recte rem exponat. Loquendi genus perrarum *εἶναι ῥᾴστης διδασκαλίας* de homine quidem usurpatum notavit Hermannus apud Zimmermann. Diar. Philoll. 1837, 39. p. 326. Excerptt. Herodiani 469. post Lobeck. Phryn. *Ὀλίγης ἐστὶ διδασκαλίας· ἀντὶ τοῦ ὀλίγου δεῖται πρὸς μάθησιν.* Demosth. Philipp. III, 56. *Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι τινὲς μὲν Φιλίππου καὶ πάνθ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ τοῦ βελτίστου καὶ ὅπως μὴ δουλεύσουσιν οἱ πολῖται πράττοντες.* V. Demosth. in Pantaenet. p. 982, 1. Matth. Gr. p. 784. Bernhard. Synt. 166.

Fr. 2. Anthol. Pal. XI, 49. *Εὐηνοῦ.* 2. Hor. Carmm. III, 21, 3. 3. *Bacchus cum tribus Nymphis misceri gaudet ipse quartus.* Jam Hesiodus Opp. 594. *τρὶς δ' ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.* Jacobsius conj. *χαίρει δὲ τρισὶ κιρνάμενος Νύμφαισι τέταρτος.* Simili translatione utitur Macrob. Sat. VII, 1. *Ut crateri liquoris ad laetitiam nati adhibeatur non modo Nympharum, sed Musarum quoque admixtione temperies.*

εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
  βαπτίζει δ' ὕπνῳ γείτονι τοῦ θανάτου.

3.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν,
  χωρὶς δὲ βλαβερὴ καὶ κακότητα φέρει.

4.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
  κρυπτόμενον, μανίης πουλὺ χερειότερον.

5.

Εἰ μισεῖν πόνος ἐστὶ, φιλεῖν πόνος, ἐκ δύο λυγρῶν
  αἱροῦμαι χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

6.

Ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.

7.

(Ὕβρις,)

ἥτις κερδαίνουσ' οὐδὲν ὅμως ἀδικεῖ.

---

6. *τῶ θανάτου* Pal. *τοῦ θ.* Planudes.

Fr. 3. Stobaeus Floril. LI, 17. 1. *σοφίαν* A Trinc. Cfr. Cic. Off. I, 19. Hor. Carmm. III, 4, 65. *Vis consili expers mole ruit sua.*

Fr. 4. Stobaeus Floril. XX, 2. 2. *Ira ipso furore gravius.*

Fr. 5. Anth. Pal. XII, 172. 1. *ἐκ δύο λυγρῶν* Brunckius. Codex *δυολυτρῶ: δύο λοιπόν* Planudes.

Fr. 6. Plut. Morall. II, 497, A. *Ἐπαινεῖται καὶ μνημονεύεται τοῦ Εὐηνοῦ τοῦτο μόνον, ὡς ἐπέγραψεν· Ἢ κτλ.* Suppresso poetae nomine Artemidor. Oneirocr. I, 16. Hermias in Plat. Phaedr. LI. *Εὐηνὸς καὶ τὸν ἴαμβον τοῦτον εἶπεν· Ἢ φόβος ἢ λύπη παῖς πατρὶ πάντα βίον.* Vide Ruhnken. Rutil. Lup. I, 10., ubi Charisii haec laudantur: *Nimirum nullo consilio filios procreamus. Nam majorem partem ex illis doloris et contumeliae capimus.*

Fr. 7. Stobaei Floril. I, 18. *Ἀριστοτέλης περὶ ἀρετῆς. Ἀδικίας δέ ἐστιν εἴδη τρία, ἀσέβεια, πλεονεξία,*

8.

Πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.

9.

Φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε, καὶ δὴ
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

XII. Critiae Atheniensis.

Circa Olymp. XCIV.

Critias, Callaeschri filius, Atheniensis, genus ducebat a vetusto illo Critia, Dropidae filio, quem cum Solone, quem cognatione attingeret, familiarissime consuesse accepimus, usum autem familiaritate Anacreontis Teii, v. Plat. Charmid. 157, E. Praeceptores habuit Critias junior, cui Tyranni postea nomen inditum constat, Leontinum Gorgiam — v. Spengel. *Συναγωγὴ τεχν.* 120 sqq. — et Socratem. Orator censebatur non mediocris, v. Cic.

ὕβρις. — ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὑτοῖς παρασκευάζουσιν εἰς ὄνειδος ἄγοντες ἑτέρους. ὅθεν καὶ Εὐηνὸς περὶ αὐτῆς λέγει· Ἥτις κτλ.

Fr. 8. Vide ad Theogn. 474., qui eodem versu utitur proverbiali.

Fr. 9. Aristoteles Eth. Nic. VII, 10. Eudem. VI, 10. 1. *πολυχρονίην*, v. Wernick. Tryphiod. 40.

Critiae Atheniensis. Putant Critiam Elegiis suis Epigramma dedicatorium praemisisse. Plato Rep. II, 367, E. *Καὶ ἐγὼ ἀκούσας ἀεὶ μὲν δὴ τὴν φύσιν τοῦ τε Γλαύκωνος καὶ τοῦ Ἀδειμάντου ἠγάμην, ἀτὰρ οὖν καὶ τότε πάνυ γε ἥσθην καὶ εἶπον· Οὐ κακῶς εἰς ὑμᾶς, ὦ παῖδες ἐκείνου τοῦ ἀνδρός, τὴν ἀρχὴν τῶν ἐλεγείων ἐποίησεν ὁ Γλαύκωνος ἐραστής, εὐδοκιμήσαντας περὶ τὴν Μεγαροῖ μάχην, εἰπών.*

Παῖδες Ἀρίστωνος, κλεινοῦ θεῖον γένος ἀνδρός.

Glauconis amatorem Critiam fuisse Schleiermacherus assequutus est: fuit autem Critias frater matris Glauconis. Eodem respicit

Brut. 7. Orat. II, 22, 93. Phrynichus quidem, teste Photio Bibl. 101, B, 4., *εἰλικρινοῦς καὶ καθαροῦ καὶ Ἀττικοῦ λόγου κανόνας καὶ στάθμας καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ Δημοσθένην — Κριτίαν τε τὸν Καλλαίσχρου καὶ Ἀντισθένην· — τούτους προκρίνων τῶν ἄλλων ἁπάντων καὶ ῥητόρων καὶ συγγραφέων καὶ ποιητῶν κτλ.* Praeter libros varios oratione pedestri conscriptos condidit Elegias aliaque carmina. Et Elegiarum quidem titulum novimus fuisse *πολιτείας ἐμμέτρους*: sed praeter illas alia carmina elegiaca edidit.

I. *Πολιτεῖαι ἔμμετροι.*

1.

Κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα.
εἶτα δ' ὄχος Σικελός, κάλλει δαπάνῃ τε κράτιστος

Ael. Aristides II, 123, B. ubi Plato vocatur *ὁ τοῦ ἐπιγράμματος μετέχων καὶ δι' ὃν τὸ Ἀρίστωνος γένος θεῖον ὡς ἀληθῶς.* Ubi *ἀποσχεδίασμα* Scholiastarum hoc est p. 144. Frommel. *Ἐπίγραμμα ἦν τοῦ πατρὸς αὐτοῦ τοῦ Ἀρίστωνος, λέγον οὕτως· Ὦ παῖδες κλεινοῦ, θεῖον γένος. Τινὲς οὖν φασίν, ὅτι διὰ μόνον Πλάτωνα τὸ θεῖον εἶπε, ἵνα δηλώσῃ, ὅτι θεῖός ἐστι· ἄλλοι δέ φασιν, ἐπειδὴ ὁ πατὴρ αὐτοῦ ἠρίστευσεν.* Et in marg. cod. Schellershem. *Τοῦ ἐπιταφίου*, quod illius auctor notationis ad v. *ἐπιγράμματος* spectare voluit. Verum Platonis illa verba *τὴν ἀρχὴν τῶν ἐλεγείων* utrum ad Tyranni universae poesis elegiacae principium pertinuerit, an vero ad carmina diversa a *πολιτείαις ἐμμέτροις*, non claret. Nisi quod probabile est, quod fr. 3. monstrare videtur, concelebrasse poetam elegiis ab *πολιτείαις* diversis nobilissimos quosque Athenienses, Cimonem, Alcibiadem, alios, v. Groen van Prinsterer Prosopogr. Plat. 138 sq.

Fr. 1. Ath. I, 28, B. *Κριτίας δὲ οὕτως (τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα καταλέγει)· Κότταβος κτλ.* 1. *Κότταβος* h. l. *κοτταβεῖον.* 3. Pindar. Hyporch. fr. 3. *ἀπὸ τᾶς ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδάλεον ματεύειν.*

Θεσσαλικὸς δὲ θρόνος, γυίων τρυφερωτάτη ἕδρα.
εὐναίου δὲ λέχους ἔξοχα κάλλος ἔχει
Μίλητός τε Χίος τ᾽, ἔναλος πόλις Οἰνοπίωνος.
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη,
καὶ πᾶς χαλκὸς ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ.
Φοίνικες δ᾽ εὗρον γράμματα λεξίλογα.
Θήβη δ᾽ ἁρματόεντα δίφρον συνεπήξατο πρώτη·
φορτηγοὺς δ᾽ ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι·
τὸν δὲ τροχοῦ γαίης τε καμίνου τ᾽ ἔκγονον εὗρε,
κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,
ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

2.

Καὶ τόδ᾽ ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστι,
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,

---

4. Pollux VII, 112. *Κάλλιστοι οἱ Θετταλικοὶ δίφροι· διὸ καὶ ἡ Πυθία ἔφη· Θετταλὲ ποικιλόδιφρε.* 5. *ἔξοχα* om. BCD. 6. Celebratissima *στρώματα, ἔρια Μιλήσια.* Theocr. XV, 125. Virg. Georg. III, 306. *ἔναλος πόλις Οἰνοπίωνος.* Cfr. Ion Chius Plut. Thes. 20. *Ἴων ὁ Χῖος περὶ τῆς ἑαυτοῦ πατρίδος λέγει· Τήν ποτε Θησείδης ἔκτισεν Οἰνοπίων.* 7. Vide de operibus caelatis Etruscorum Muelleri Etruscc. II, 251 sqq. Archaeol. 156 sq. 9. Herod. V, 58. Libri *γράμματ᾽ ἀλεξίλογα,* quod praeter Eustathium legitur etiam in *Συναγ. λέξ.* Bekker. Ann. 382, 19. *Ἀλεξίλογα· οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος.* Recte sprevit Schweighaeuserus. 10. Pind. l. c. *ἅρμα Θηβαῖον.* Soph. Antig. 149. 845. Intpp. Pind. Ol. VI, 85. 12. Libri *τροχόν:* emendavit Casaubonus. *γαίας* BCD. Testatur Plin. N. H. VII, 57. figlinas Coroebum Atheniensem invenisse. *Κύλικες Ἀττικαὶ* et omnino vasa fictilia per omnem orbem terrarum longe lateque distracta, v. Mueller. Archaeol. 39. 40. Addit Athenaeus: *καὶ ἐπαινεῖται ὄντως ὁ Ἀττικὸς κέραμος.*

Fr. 2. Ath. X, 432, D. *Προπόσεις τὰς γινομένας ἐν τοῖς συμποσίοις Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι. δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς Ἐλεγείοις· Καὶ τόδ᾽ κτλ.* Constat quantopere Laconum partibus faverit tyrannus, qui quidem et *καλλίστην δοκεῖν εἶναι τὴν τῶν Λακεδαιμονίων πολιτείαν* aperte profitetur apud Xenoph. Hell. II, 3, 34. et pedestri sermone de *πολιτείᾳ Λακεδαιμονίων* edidit librum. Cfr. de ritibus bibendi apud Spartanos Mueller. Dorr. II, 276. 2. *τὴν αὐτήν,* h. e.

μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
  μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κυκλοῦν Θασίου·
ἄγγεα. Λυδὴ χεὶρ Ἀσιατογενὴς * *
  * * *
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια, καὶ προκαλεῖσθαι
  ἐξονομακλήδην ᾧ προπιεῖν ἐθέλει.
εἶτ' ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
  εἰς αἰσχροὺς μύθους, σῶμά τ' ἀμαυρότερον
τεύχουσιν· πρὸς δ' ὄμμ' ἀχλὺς ἀμβλωπὸς ἐφίζει·
  λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων·
νοῦς δὲ παρέσφαλται· δμῶες δ' ἀκόλαστον ἔχουσιν
  ἦθος· ἐπεισπίπτει δ' οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
  ὥστε φρέν' εἰς ἱλαρὰν ἀσπίδα πάντ' ἀπάγειν,
εἴς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα.
  τοιαύτη δὲ πόσις σώματί τ' ὠφέλιμος
γνώμῃ τε κτήσει τε· καλῶς δ' εἰς ἔργ' Ἀφροδίτης,
  πρός θ' ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς Ὑγίειαν,
  καὶ τὴν εὐσεβίης γείτονα σωφροσύνην.

ἑξῆς τε πάλιν φησίν·

Αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
  τέρψασαι λυποῦσ' εἰς τὸν ἅπαντα χρόνον.

---

illud ipsum poculum, quod unicuique appositum ab οἰνοχόῳ repleri solebat epotum. 4. κυκλοῦν VL: κύκλου BP: κύκλῳ A teste Schweighaeusero. Θασίου Porsonus Adverss. 120. Libri θιάσου. 5. Sic Porsonus: λυδῆ χειρευνασίατο γενης A: λυδηχειρευρασιατογενὴς B: λυδῆ χειρευασία το γένης καὶ P, deleto καί: λυδῆ χειρευασίταο (χειρενασίατο L) γένης καὶ VL. Post γένης καὶ in PVL sequitur lacunae indicium, quo carent AB. Oppositum fuisse potandi morem Lydorum (Xenophanes fr. 3.) sobriae bibendi consuetudini Laconicae patet: hinc Passovius sic refinxit: ἄγγεα δ' οἰναχθῆ λάβροις χείλεσσιν ἀφύσσειν εἴθισται Λυδὴ χεὶρ Ἀσιατογενής. 8. προπιεῖν BC. προπολεῖν A: προποτεῖν P. 9. τελέουσιν ABC. 12. λῆστις L ex epitome Hoeschelii: λῆσις ABPV. λῆσις superscripto λῆστις C. 17. γλῶσσαν B: reliqui γλῶτταν.

Fr. 2, b. 2. fort. εἰς τὸν ἔπειτα χρόνον.

ἡ Λακεδαιμονίων δὲ δίαιθ᾽ ὁμαλῶς διάκειται,
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φανὲν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ᾽ ἀπότακτος
ἡμέρα οἰνῶσαι σῶμ᾽ ἀμέτροισι πότοις.

II. Ἐλεγεία εἰς Ἀλκιβιάδην.

3.

Καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ᾽ ἐφαρμόζειν ἐλεγείῳ·
νῦν δ᾽ ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

4.

Γνώμη δ᾽ ἥ σε κατήγαγ᾽, ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὖργον ἔδρασα τόδε.
Σφραγὶς δ᾽ ἡμετέρης γλώσσης ἐπὶ τοῖςδεσι κεῖται.

---

4. Bachius πρὸς τὸ φρονεῖν. 5. Corinthi enim et Athenis scimus fuisse ἀπότακτον ἡμέραν οἰνῶσαι σῶμ᾽ ἀμέτροισι πότοις, v. Welcker. Theogn. 321.

II. *Ἐλεγεία εἰς Ἀλκιβιάδην.* Fr. 3. Hephaestio 22. Gsf. *Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ* οὐκ ᾤετο ἐγχωρεῖν τὸ τοῦ Ἀλκιβιάδου ὄνομα· φησὶ γὰρ ἐν ἐκείνῃ οὕτως· *Καὶ νῦν* κτλ. Hinc liquet alios viros pariter a Critia celebratos fuisse, v. supra p. 136 sq. 1. Quidam libri Ἀθηναίου.

Fr. 4. Plutarch. Alcib. XXXIII. Τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο, Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς *ἐν ταῖς ἐλεγείαις* πεποίηκεν ὑπομιμνήσκων τὸν Ἀλκιβιάδην τῆς Χάριτος ἐν τούτοις· *Γνώμη* κτλ. 3 γλώσσης Schaeferus: vulgo γλώττης. *Rata haec facta sunt, quod tibi ego coram populo patrocinatus eram.* Acta haec Ol. XCII, 1. v. Valckenar. Diatr. 254.

III. Ἐξ ἀδήλων ἐλεγείων.

5.

Πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
νίκας δ' Ἀγεσίλα τοῦ Λακεδαιμονίου.

6.

Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

IV. Ἑξάμετροι περὶ Ἀνακρέοντος.

7.

Τὸν δὲ γυναικείων μελέων πλέξαντα ποτ' ᾠδὰς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγε,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι

III. *Ἐξ ἀδ. ἐλ.* Fr. 5. Plutarch. Cimon. X. *Κριτίας τῶν τριάκοντα γενόμενος ἐν ταῖς ἐλεγείαις εὔχεται Πλοῦτον κτλ.* 1. De Aleuadis Scopadisque, nobilissimis opulentissimis Thessalorum primoribus, omnia nota. De Cimonis *μεγαλοφροσύνη* Plut. l. c. *ἡ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν.* Cfr. XVI. 2. Agesilas Spartanus intelligendus est *victor certaminum publicorum.*

Fr. 6. Stobaeus Floril. XXIX, 10. Cfr. Eueni fr. 10. Epicharmus Stob. XXIX, 54. *Ἁ δὲ μελέτα φύσιος ἀγαθᾶς πλεῦνα δωρεῖται, φίλοι.* V. Welcker. Theogn. LIV. Aliter vero Pindarus.

IV. *Ἑξάμετροι περὶ Ἀνακρέοντος.* Fr. 7. Athen. XIII, 600, E. *Λέγει περὶ τοῦ Ἀνακρέοντος καὶ ὁ κράτιστος Κριτίας τάδε· Τὸν δὲ κτλ.* Vide Bergkii Anacr. p. 5 sqq. et ad v. 4. vide Bergk. ad Anacr. fr. V. Ad v. 5. compara Epigramma Diog. Laert. I, 6, 2. Ceterum Critias videtur alios praeter Anacreontem poetas versibus herois ornasse. Quanquam de carminibus istius generis nihil tradidit antiquitas.

παῖς διαπομπεύῃ, προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

XIII. Socratis Atheniensis.

Olymp. LXXVII, 4 — XCV, 1.

1.

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσιν
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

2.

Οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ.

XIV. Philetae Coi.

Olymp. CXX.

Suidas: *Φιλητᾶς, Κῶος, υἱὸς Τηλέφου, ὢν ἐπί τε Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικός. ὃς ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον Ψευδόμενον λόγον ἀπέθανεν. Ἐγένετο δὲ καὶ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου. Ἔγραψεν ἐπιγράμματα καὶ ἐλεγείας καὶ ἄλλα.*

Socratis Atheniensis Fr. 1. Diog. Laert. II, 42. Suspectat hos versus Grauertus de Aesopo et Fabb. Aesop. 54. De fabulis Aesopiis a Socrate versibus inclusis v. Plat. Phaed. 60, D sqq. Plutarch. Morall. II, 16, C.

Fr. 2. Athen. XIV, 628, F. *Καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια λέγων οὕτως· Οἳ δὲ κτλ.*

I. Δημήτηρ.

1.

Ἀλλ' ὅτ' ἐπὶ χρόνος ἔλθῃ, ὃς ἐκ Διὸς ἄλγεα πέσσειν
ἔλλαχε καὶ πενθέων φάρμακα μοῦνος ἔχει.

2.

Νῦν δ' * αἰεὶ πέσσω, τὸ δ' ἀέξεται ἄλλο νεωρὲς
πῆμα, κακοῦ δ' οὔπω γίγνεται ἡσυχίη.

3.

Καὶ γάρ τις μελέοιο κορεσσάμενος κλαυθμοῖο
κήδεα δειλαίων εἷλεν ἀπὸ πραπίδων.

II. Ἑρμῆς.

4.

Ἀτραπὸν εἰς Ἀΐδεω
ἤνυσα, τὴν οὔπω τις ἐναντίον ἦλθεν ὁδίτης.

5.

Λευγαλέος δὲ χιτὼν πεπινωμένος, ἀμφὶ δ' ἀρειὴν
ἰξὺν εἰλεῖται κόμμα μελαγκράνιον.

I. Δημήτηρ. Fr. 1. Stob. Floril. CXXIV, 26. Φιλητᾶ Δήμητρος. 2. Simonid. Eleg. fr. LXV. Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει. Plut. Morall. II, 102, A. Χρόνος ὁ πάντα πεπαίνειν εἰωθώς.

Fr. 2. Stob. Floril. CIV, 11. Φιλητᾶ Δήμητρος. 1. Fort. νῦν δ' ἄλγη πέσσω.

Fr. 3. Stob. Floril. CXXIV, 26. Φιλητᾶ Δήμητρος.

II. Ἑρμῆς. Carmen in Ulixis potissimum fatis amoribusque describendis versatum esse fidem facit et narratio Parthenii Erot. 2. et fragmentorum interpretatio. Servavit fr. 4. Stobaeus Floril. CXVIII, 3. Φιλητᾶ Ἑρμοῦ. Videtur Ulixes loqui de *itinere* suo *tenebricoso Illuc, unde negant redire quemquam.*

Fr. 5. Strabo III, 168. de incolis insularum Balearium: Ἄζωστοι ἐπὶ τοὺς ἀγῶνας ἐξῄεσαν, αἰγίδα περὶ τῇ χειρὶ

6.

Ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς ἀνάγκη,
ἥ ῥ' οὐδ' ἀθανάτους ὑποδείδιεν, οἵ τ' ἐν Ὀλύμπῳ
ἔκτοσθεν χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο.

7.

Ἦ μὲν δὴ πολέεσσι πεφύρησαι χαλεποῖσιν,
θυμέ, γαληναίῃ δ' ἐπιμίσγεαι οὐδ' ὅσον ὅσσον,
ἀμφὶ δέ τοι νέαι αἰὲν ἀνίαι τετρήχασιν.

III. *Παίγνια.*

8.

Οὔ μέ τις ἐξ ὀρέων ἀποφώλιος ἀγροιώτης
αἱρήσει κλήθρην, αἰρόμενος μακέλην,

ἔχοντες ἢ πεπυρακτωμένον ἀκόντιον, σπάνιον δέ, καὶ λελογχωμένον σιδήρῳ μικρῷ. σφενδόνας δὲ περὶ τῇ κεφαλῇ τρεῖς μελαγκρανίας, [σχοίνου εἶδος, ἐξ οὗ πλέκεται τὰ σχοινία· καὶ Φιλητᾶς δὲ ἐν Ἑρμενείᾳ (corrigunt Ἑρμῇ ἐλεγείᾳ, Ἑρμῇ λέγει: sed Meinekius Euphor. 25. Ἑρμείᾳ, cui dedicasse videatur poeta carmen suum). Λευγαλέος κτλ. ὡς σχοίνῳ ἐζωσμένου μελαγκρανίς,] ἢ τριχίνας ἢ νευρίνας. τὴν μὲν μακρόκωλον πρὸς τὰς μακροβολίας· τὴν δὲ βραχύκωλον πρὸς τὰς ἐν βραχεῖ βολάς· τὴν δὲ μέσην πρὸς τὰς μέσας. Cfr. Diodor. V, 17. Uncis inclusa a glossatore addita sunt. 1. ἀραιὴ ἰξὺς libri: emendavit Salmasius et Toupius. Casaubonus ἀραιὰς ἰξῦς, Bachius ἀραιῇ ἰξυῖ. κόμμα. Correxerunt ἅμμα, ζῶμα: sed v. Harpocratio 114, 20. τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ στάχυϊ γινομένων ἢ τῶν ἀνθερίκων. Libri μελαγκραΐνον.

Fr. 6. Stobaeus Eclogg. V, 4, 156. Heeren. Conjiciunt poetam hexametris quoque heroicis usum esse in *Mercurio* carmine. Res valde obscura; anceps judicium. An exciderunt pentametri? At Aelianus V. H. X, 6. Philetam ποιητὴν ἑξαμέτρων novit. Meinekio Euphor. 18. carmen epicum hexametricum fuisse arbitranti obstat fr. 4. 1. Fort. Ἰσχυρὰ γὰρ θνητοῦ ἐπικρ.

Fr. 7. Stob. Flor. CIV, 12. In codicibus nulla inscriptio: Trincavell. Φιλήτου (sic). 2. Aristoph. Vespp. 213. τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην; 3. τετρήχασιν, Buttmann. Lexil. I, 210 sqq. Ceterum si sunt versus Philetae, fortasse exciderunt pentametri.

III. *Παίγνια*, h. e. *Lusus poetici.* Fr. 8. Stob. Floril.

ἀλλ' ἐπέων εἰδὼς κόσμον καὶ πολλὰ μογήσας
  μύθων παντοίων οἶμον ἐπιστάμενος.

9.

Ἐκ θυμοῦ κλαῦσαί με τὰ μέτρια καί τι προσηνὲς
  εἰπεῖν μεμνῆσθαί τ' οὐκ ἔτ' ἐόντος ὅμως.

IV. Ἐπιγράμματα.

10.

Οὐ κλαίω ξείνων σε φιλαίτατε, πολλὰ γὰρ ἔγνως
  καλά, κακῶν δ' αὖ σοι μοῖραν ἔνειμε θεός.

11.

Γαῖαν μὲν φανέουσι θεοί ποτε· νῦν δὲ πάρεστιν
  λαιψηρῶν ἀνέμων μοῦνον ὁρᾶν τέμενος.

LXXXI, 4. *Φιλητᾶ Παιγνίων.* Videtur alnus loquens induci: se non captum iri rustica securi, sed carminibus poëtae, ut Orpheus arbores traxisse fertur. Acumen inest in illo *αἱρήσει με ἐξ ὀρέων.* 3. *ἐπέων κόσμον,* v. Solon. Salamin. fr. 1, 2. *πολλὰ μογήσας*, *multum Musis operatus.* Hermannus ad Hermesian. 35. *μὴ πολλὰ μογήσας.* 4. *μύθων οἶμον,* v. Dissen. Pind. Ol. IX, 47.

Fr. 9. Stob. Floril. CXXIV, 10. *Φιλητᾶ Παιγνίων.* 1. *μέγα μέτρια* libri: emendavit Jacobsius. Cfr. Euphor. fr. LVII. Meinek. *Καὶ τόκα μέτρια μέν-τις ἐπὶ φθιμένῳ ἀκάχοιτο, μέτρια καὶ κλαύσειεν· ἐπεὶ καὶ πάμπαν ἄδακρυν Μοῖραι ἐπημήναντο.* 2. Legebatur *ὁμῶς.*

IV. *Ἐπιγράμματα,* h. e. fere i. q. *παίγνια;* ut carminum elegiacorum frustula videantur esse. Nam non possunt insculpta fuisse haec carmina. Fr. 10. Stob. Flor. CXXIV, 11. *Φιλητᾶ Ἐπιγραμμάτων.* Est qui frr. 9. et 10. artius connectat, ut hoc disticho respondeatur illi.

Fr. 11. Stob. Flor. LIX, 5. *Φιλητᾶ Ἐπιγραμμάτων.* Jacobsio videntur haec ex elegia ducta, ubi allegoriae inservirent, v. Theocrit. IV, 43. Alii verba esse censent hominis in medio mari jactati. 2. *ἀνέμων τέμενος*, h. e. *regnum Deorum maris, ventorum.* Aesch. Perss. 363. *αἰθέρος τέμενος.*

V. Ἄδηλα.

12.

* Τῷ οὔμοι πολέων γαίης ὕπερ οὐδὲ θαλάσσης
ἐκ Διὸς ὡραίων ἐρχομένων ἐτέων·
οὐδ' ἀπὸ Μοῖρα κακῶν μελέῳ φέρει, ἀλλὰ μένουσιν
ἔμπεδα, καὶ τοῖσιν δ' ἄλλα προσαυξάνεται.

13.

Φλιοῦς γὰρ πόλις ἐστὶ, Διωνύσου φίλος υἱὸς
Φλιοῦς ἥν αὐτὸς δείματο λευκόλοφον.

14.

Τά οἵ ποτε Κύπρις ἑλοῦσα
μῆλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων.

15.

Γηρύσαιτο δὲ νεβρὸς, ἀπὸ ψυχὴν ὀλέσασα,
ὀξείης κάκτου τύμμα φυλαξαμένη.

V. Ἄδηλα. Fr. 12. Stob. Flor. CIV, 15. Φιλητᾶ. Fragmentum corruptissimum. 1. Corrigunt πτοιοῦμαι, ἀτῶμαι: illud alienum ab h. l. 2. Libri ἔσχομεν ὧν: correxit Jacobsius. 3. Libri οὐδ' ἀπὸ μοῖρα μελέῳ κακῶν φέρει, ἀλλὰ φέρουσιν. Illud Passovius, hoc Grotius sanavit. 4. τοῖσιν libri: correxit Hermannus.

Fr. 13. Steph. Byz. s. v. Φιλητᾶς φησί· Φλιοῦς κτλ. Phlius filius Bacchi et Chthonophylae vel Araethyreae, Scholl. Ap. Rh. I, 115. Pausaniae II, 12, 6. et Apollonio Φλίας est. Vide Mueller. Dorr. I, 80. 2. Libri λευκόλοφος: emendavit Heynius.

Fr. 14. Scholl. Theocrit. II, 120. Ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένει μῆλα ἐκ Διονύσου, οἷς στεφανοῦται· ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὥς φησι Φιλητᾶς· τά οἵ ποτε κτλ. Casaubonus dedit Μῆλα φέρων κόλποισι, τά οἵ ποτε Κ. ἑλοῖσα (sic omnes) Δῶρα Διωνύσου κτλ. De fabula v. Ovid. Met. X, 605 sqq. 2. Poma invenit Bacchus, Theocr. l. c., Ath. III, 82, D. Poma Bacchi detraxit Venus a temporibus suis: nam poma quoque corollis inserebant.

Fr. 15. Athen. II, 71, A. Καὶ Φιλητᾶς ὁ Κῷος· Γηρ. κτλ. De αὐλοῖς νεβρείοις v. Eustath. in Pindar. 18. Νεβρείους

16.

[Ἕστηκ' ἀμφὶ κόμας εὐώδεας ἀγχόθι πατρὸς
καλὸν Ἰακχαῖον θηκαμένη στέφανον.]

XV. Hermesianactis Colophonii.

Olymp. CXXV (?).

Scholiasta Nicandri Ther. 3. Ὁ Ἑρμησιάναξ φίλος τῷ Φιλητᾷ καὶ γνώριμος ἦν· τούτῳ δὲ τὰ Περσικὰ γέγραπται, καὶ (hoc καὶ omittunt libri Schneideri: hinc fortasse corrigendum τὰ Ἐρωτικὰ ἤτοι τὰ κτλ. Ante Schneiderum καὶ τὰ λεγόμενα εἰς τὴν ἐρωμένην vulgabatur.) τὰ εἰς Λεόντιον τὴν ἐρωμένην. — Οὐ δύναται δὲ Νίκανδρος μνημονεύειν τούτου διὰ τῆς προσφωνήσεως, διὰ τὸ τὸν Φιλητᾶν πρεσβύτερον εἶναι Νικάνδρου· καὶ αὐτὸς δὲ ὁ Νίκανδρος μέμνηται Ἑρμησιάνακτος ὡς πρεσβυτέρου ἐν τῷ περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν. Confer Ruhnken. Ep. Crit. II, 283.

αὐλοὺς τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. Philetae verba aperit Antigonus Caryst. 8. Οὐχ ἧττον τούτων θαυμαστὸν, καθωμολογημένον δὲ μᾶλλον τὸ περὶ τὴν ἐν Σικελίᾳ ἄκανθαν, τὴν καλουμένην κάκτον. εἰς ἣν ὅταν ἔλαφος ἐμβῇ καὶ τραυματισθῇ, τὰ ὀστᾶ ἄφωνα καὶ ἄχρηστα πρὸς αὐλοὺς ἴσχει. ὅθεν καὶ ὁ Φιλητᾶς ἐξηγήσατο περὶ αὐτῆς, εἴπας· Γηρύσαιτο κτλ., qui ζωὴν ὀλέσασα habet. Adde Hesych. s. v. κάκτος.

Fr. 16. Athen. XV, 678, A. Ἀλλὰ μὴν καὶ Ἰάκχαν τινὰ καλούμενον οἶδα στέφανον ὑπὸ Σικυωνίων, ὥς φησι Τιμαχίδας ἐν ταῖς Γλώσσαις. Φιλητᾶς δ' οὕτως γράφει· Ἰάκχα, ἐν τῇ Σικυωνίᾳ στεφάνωμα εὐῶδες· Ἕστηκ' κτλ., unde patet, Philetam alius potius poetae versiculo rem confirmasse, quam suo. 1. ἀμφὶ κόμας Schweighaeuserus: ἀμφίκομα Cant. L. εὐώδεας AB: εὐώδεος L. De ἰακχαίῳ στεφάνῳ v. Hermann. Soph. O. R. 1219.

1. *Λεοντίου ά.*

Δερκόμενος πρὸς κῦμα· μόνη δέ οἱ ἐφλέγετο γλήν.

2. *Λεοντίου γ΄.*

Οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο
Ἀγριόπην, Θρῇσσαν στειλάμενος κιθάρην,
ᾍδόθεν, ἔπλευσεν δὲ κακὸν καὶ ἀπειθέα χῶρον,
ἔνθα Χάρων κοινὴν ἕλκεται εἰς ἄκατον

XV. Hermesianactis Colophonii Leontii carminis fr. 1. Herodianus *περὶ μον. λέξ.* 16, 12. *Τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν Λεοντίου ά· Δερκόμενος κτλ. οὐκ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη.* Sermo erat de Polyphemi in Galateam Nympham amore, de quo cfr. Theocr. XI, 13 sqq. et Philoxenum Cytherium in Scholl. Theocr. XI, 1. De forma *γλὴν* v. Lobeck. Parall. I, 72.

Fr. 2. est ex tertio libro Leontii. Athen. XIII, 596, F. sqq. *Ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν, Ἀλλὰ μικροῦ, ἔφη, ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰπεῖν τήν τε Ἀντιμάχου Λυδὴν, προςέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδὴν, ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος. ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς ἐποίησεν ὁ μὲν ἐν ἐλεγείοις, ὁ δ᾽ ἐν μέλει τὸ καλούμενον ποίημα Λυδήν. παρέλιπον δὲ καὶ τὴν Μιμνέρμου αὐλητρίδα Ναννὼ καὶ τὴν Ἑρμησιάνακτος τοῦ Κολοφωνίου Λεόντιον· ἀπὸ γὰρ ταύτης ἐρωμένης αὐτῷ γενομένης, ἔγραψεν ἐλεγειακὰ τρία βιβλία, ὧν ἐν τῷ τρίτῳ κατάλογον ποιεῖται ἐρωτικῶν, οὑτωσί πως λέγων· Οἵην κτλ.* Elaborarunt in emendando carmine innumeris mendis obsito praeter alios Ruhnkenius l. c. et G. Hermannus Opuscc. IV, 239 sqq. Disjunxi singula quasi capita non temere: responsionem quandam certam observavit poeta. 1. *Οἵην*, intellige *οἶσθα, γιγνώσκεις*, v. 73. 75. Alloquitur Leontium suam poeta. 2. *Agriopam* reliqui scriptores *Eurydicen* vocant, v. Lobeck. Aglaoph. I, 375. 3. Immerito Hermannus malit *ἀπευθέα, sive is ignorabilis intelligendus, sive ex quo nulla venit fama.* 4. Libri *ἀκοίην*: correxit Lennepius, v. Propert. III, 16, 24. *Scandenda est torvi publica cymba senis.* Conjecerunt alii *ἀκαλήν*, (*ἄψοφον* Hesych.) *ὠχρήν, κοίλην, αἰνήν, ἀκέων, ἀέκων;* Hermannus *ἀόκνην*, quam formam vix excusabilem puto. Valckenarius *ἄκρην extremam.*

ψυχὰς οἰχομένων· λίμνη δ' ἔπι μακρὸν ἀΰτεῖ,
ῥεῦμα διὲκ μεγάλων ῥυομένη δονάκων.
ἀλλ' ἔτλη παρὰ κῦμα μονόζωστος κιθαρίζων
᾿Ορφεύς, παντοίους δ' ἐξανέπεισε θεούς·
Κωκυτόν τ' ἀθέμιστον ἐπ' ὀφρύσι μειδήσαντα
εἶδε, καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνός,
ἐν πυρὶ μὲν φωνὴν τεθοωμένου, ἐν πυρὶ δ' ὄμμα
σκληρὸν τριστοίχοις δεῖμα φέρον κεφαλαῖς.
ἔνθεν ἀοιδιάων μεγάλους ἀνέπεισεν ἄνακτας
᾿Αγριόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.

Οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκε
Μουσαῖος, Χαρίτων ἤρανος, ᾿Αντιόπην,
ἥ τε πολὺν μύστῃσιν ᾿Ελευσῖνος παρὰ πέζαν
εὐασμὸν κρυφίων ἐξεφόρει λογίων,

---

5. *λίμνηι* A: *λίμνης* Ruhnkenius. 6. *χεῦμα — ῥυομένης* Ruhnkenius. Hermannus *Si quid*, ait, *suspectum in hoc loco, est id ῥυομένη, inusitata, sed propria tamen significatione positum, ut non videatur mutandum esse. Si tamen, συρομένη praestaret aliis conjecturis.* 7. *μονόζωστον* libri: correxit Ruhnkenius. Intellige *μόνον*, ut Soph. O. R. 846. *ἀνὴρ εἷς οἰόζωνος.*
8. *ἀνταίους* Valckenarius. Hermannus: *Poeta Orpheum dixerat securum inter inferni horrores omnium celebrasse laudes deorum. Id ille, nisi fallor, significaverat verbo ἐξανέλισσε, quo refertur postea ἔνθεν ἀοιδιάων: ab universorum genere deorum exorsus, infernos exoravit reges.* Recte videtur vulgata habere: omnigenos Deos permulcens primum flexit sustinuitque Cocytum et Cerberum, tum exoravit *magnos* deos infernales. 9. Ruhnkenius *ἀπόθεστον* (h. e. *οὐκ εὐλιτάνευτον*) *ὑπ' ὀφρ. μειδ.* Hermannus: *Immo »flumine languido Cocytus errans« aliter, opinor, testificatus est se Orphea testudine commotum esse. Itaque sic potius scripsisse poetam existimem: Κωκυτόν τ' ἀνέθιστον ἐπ' ὀφρύσιν οἰδήσαντα εἶδε (praeter solitum ad ripas intumescentem), καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνός.* Uno *εἶδε* recepto reliqua sana videntur: *vidit Cocytum ad cantum ipsius vultu invito praeter fas* (Hor. Carmm. III, 11, 21.) *subridentem* (*ἐπιμειδήσαντα ὀφρύσιν*). 12. Libri *φέρων*: correxit Ruhnkenius.
15. *υἱὸς Μήνης.* Plat. Rep. II, 364, E. *Μουσαῖον καὶ ᾿Ορφέα Σελήνης τε καὶ Μουσῶν ἐκγόνους*, v. Lobeck. Aglaoph. I, 454. Ilgenio videtur Musaeus Antiopam celebrasse hymno in Eleusiniam Cererem, de quo saepius Pausanias. 17. De hoc loco lubricum est judicare: de Antiopa, Musaei amoribus, quae

Ῥάριον * ὀργειῶν ἀνέμῳ διαποιπνύουσα
Δήμητρα· γνωστὴ δ' ἐστὶ καὶ εἰν Ἀΐδῃ.

Φημὶ δὲ καὶ Βοιωτὸν, ἀποπρολιπόντα μέλαθρον,
Ἡσίοδον πάσης ἤρανον ἱστορίης,
Ἀσκραίων ἐρικέσθαι ἑκόνθ' Ἑλικωνίδα κώμην·
ἔνθεν ὅγ' Ἠοίην μνώμενος Ἀσκραΐκὴν

Cereris videtur sacerdos dicta esse, nihil constat: Deïopam Musaei uxorem novimus. *ἥ τε* A: *ὅς τε* VL. Tum *πολυμνήστησιν* libri: nostrum Blomfieldius et Riglerus Axtiusque: *πολυμνήτοιο* Voss. in Hymn. Cerer. 130. Cogitandum de sacris pompis per campum Eleusinium ductis cum clamoribus mysticis. 19. *Ῥάριον* lenem habere spiritum constat, v. Herodianus *περὶ μον. λέξ.* 35, 6. ubi pro *ῥάριδος δηίους* scribe *Ῥαριάδος Δηοῦς*. Scholl. Il. *Α*, 56. Hermann. in Hymn. Cerer. 451. Injuria obloquitur Goettlingius in Theodos. 213. *ὀργιῶν* Schweighaeuserus: *ὀργίων* PVL. *ἀνέμω διαποιπνωιουσα* vel *διαποιπνύισα* A: *ἀνέμω διαποιπνώουσα* B: *διαποιπνύουσα* VL: *ἀνέμῳ ἴσα ποιπνύουσα* Vossius: *Ῥάριον ὀργίων ἀνὰ λείμακα ποιπνύουσαν Δήμητρι* Orellius: praeclare vero Hermannus *Ῥάριον ὀργειῶνι νόμῳ διαποιπνύουσα Δημήτρα*. Vide de forma *Δήμητρα* Lobeck. Parall. I, 142. 20. *Antiopa etiam mortua vivit Musaei carminibus.*

21. *μέλαθραν* AB: *μέλαθρον* P Basil. V. L. Schweighaeuserus *μέλαθρα*. Hermanno quum *μέλαθρον* vix aliter quam de sede Cumana intelligi possit, parum aptus Boeotus dici videtur Hesiodus. Requiri hic *Κυμαῖον ἀποπρ. μέλαθρον* vidisse Riglerum et Axtium. Posse ferri videtur *Βοιωτόν*, si ad *Ἡσίοδον* rettuleris: *μέλαθρον* tum intellige *Κυμαῖον*, *paternum.* 23. *ἀσκραίων* A: *ἀσκραῖον* PVL. *ἔχονθ'* L: *ἔχων* ABPV: *ἔχειν θ' Ἑλικωνίδα κώμην* Lennepius: *ἑκόνθ'* Dalecampius, quod probat Hermannus, v. Hesiod. Opp. 631 sqq. Riglerus *ἐρῶνθ'*. Poeta Colophonius aliam migrationis Hesiodiae caussam fuisse commentus est, quam qua Hesiodus ipse commotum patrem scribit, paupertatem. Hinc *ἑκόνθ'* sane quam verisimile est: *non coactus cedens paupertati, sed amori cedens sua sponte.* Et hinc *φημὶ* dicit poeta, quia obloquitur ipsi Hesiodo. 24 sqq. Ruhnkenius: »Hermesianax per lusum jocumque fingit, Hesiodum captum amore Ascraeae puellae, Eoeae, ut durum ejus animum flecteret, *Ἠοίας μεγάλας*, sive *Κατάλογον γυναικῶν*, cujus quartus liber *Ἠοίας* comprehendebat, scripsisse, et, instituta puellae cum antiquis heroinis comparatione, singularum heroinarum, quas recenseret, hymnum ab amicae nomine *Ἠοίη* vel *ἢ οἵη* incepisse. Sunt igitur *βίβλοι λόγων* nihil aliud, nisi *Κατάλογος γυναικῶν*.« *Ἠοίας* u

πόλλ᾽ ἔπαθεν, πάσας δὲ * λόγων ἀνεγράψατο βίβλους
  ὕμνων ἐκ πρώτης παιδὸς ἀνερχόμενος.

Αὐτὸς δ᾽ οὗτος ἀοιδὸς, ὃν ἐκ Διὸς αἶσα φυλάσσει,
  ἥδιστον πάντων δαίμονα μουσοπόλων,
λεπτὴν εἰς Ἰθάκην ἀνετείνετο θεῖος Ὅμηρος
  ᾠδῇσιν πινυτῆς εἵνεκα Πηνελόπης·
ἣν διὰ πολλὰ παθὼν ὀλίγην ἐσενάσσατο νῆσον,
  πολλὸν ἀπ᾽ εὐρείης λειπόμενος πατρίδος.
κλαῖεν δ᾽ Ἰκαρίου τε γένος καὶ δῆμον Ἀμύκλου
  καὶ Σπάρτην ἰδίων ἁπτόμενος παθέων.

Μίμνερμος δὲ τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλὰς
  ἦχον καὶ μαλακοῦ πνεῦμ᾽ ἀπὸ πενταμέτρου,
καίετο μὲν Ναννοῦς· πολιῷ δ᾽ ἐπὶ πολλάκι λωτῷ
  κημωθεὶς κώμους * εἶχε συνεξαμύῃ·

Καταλόγῳ non diversas fuisse sunt qui testentur — notis aliunde adde Theognostum Crameri II, 18, 26. *Οἴας* (sic)· *ἀρχὴ καταλόγου*. Et. Gud. 246, 23. *Ἠοιαι, ἔστι κατὰ λόγος Ἡσιόδου* (sic), — alii negant. *ἀναρχόμενος* Canterus. Nobis scripsisse Hermesianax videtur: *Πάσας δὲ γοῶν ἀνεγράψατο βίβλους ὕμνων*. Eoeas *hymnos* vocat poeta, cui *in honorem Eoeae* conscriptae videantur. 27. 28. *μουσοπόλον* AP: *μουσοπόλων* VL. Ruhnkenius *κύδιστον πάντων* volebat: Hermannus poetam scripsisse suspicatur: *ἥδιστον πάντων δαίμονα μουσοπολῶν ᾠδῇσιν*, *dulcissimum deorum* Amorem *carminibus colens*. Recordatum videri poetam quod Hesiodus dixit *ἠδ᾽ Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσιν*. Verum quid Homero, quem Amorem concelebrasse vix Hermesianax poterat fingere, fuerit amor in Penelopam vv. 33. 34. demum significat poeta. Ceterum v. Welcker. Cycl. Ep. 189 sq. 29. Homerus cum carminibus suis in Ithacam contendit, ut placeret Penelopae. 33. Libri *ἔκλαιεν δ᾽ Ἰκάρου*: emendavit Hermannus. *Ἰκαρίου γένος* est Penelopa: *δῆμος Ἀμύκλου καὶ Σπάρτη* Helena cum Lacedaemoniis. Illud ad Odysseam, hoc ad Iliadem respicit. Sed Penelopa ipsa oriunda Lacedaemone: unde ipsam quoque attingebat Ilias. 34. Confer Il. *Τ*, 301 sq. 35. *πολλὸν ἀνατλάς*, *graves inimicitias aemulorum expertus*. Huschkius ad Tibull. 678. *πολλὸν ἀνακλάς*, *qui vehementem spiritum pentametri fregit*. 37. *καίετο Ναννοῦς*, v. Hermann. Viger. 875. *πολιῷ* VL: *πολίῳ* P: *πολ-*

* *ἤχθεε δ' Ἑρμόβιον τὸν ἀεὶ βαρὺν, οὐδὲ Φερέκλην*
ἐχθρὸν μισήσας τοῖ' ἀνέπεμψεν ἔπη.

Λύδης δ' Ἀντίμαχος Λυσηΐδος ἐκ μὲν ἔρωτος
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ·
* *Δαρδάνη δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν,*

λιῷ A. *πολλάκι λώτῳ* vel *λωτῷ* A: *πολλάκι μώτω* P: *πολλὰ κιμώτω* VL. *σίχε συνεξαμύη* A: *σιχε συνεξαμύη, ἥ* B: *σίχε συνδραμίη* PVL. Jacobsius *κηλωθείς: κώμους ἔκλυσιν εἶχ'* (vel *εὗρ'*) *ἀνίης* Weberus. Hermannus: »Quum Mimnermus tibicen ipse tibicinem amaverit Nanno, *λωτῷ* recte scriptum videtur. *Πολιῷ*, nisi forte *σκολίῳ* scripsit, exquisitius dictum de senili tibia, ut *πολιῷ γυῖα δεθεὶς καμάτῳ* Phaniae Anth. Pal. I, 294. Vide quae dixi ad Eurip. Med. 876. Denique in *στεῖχε* Ruhnkenius, in *συνεξανύειν* incidit Ilgenius. Elegans erit et sententia et dictio, si scripserimus: *πολιῷ δ' ἐπὶ πολλάκι λωτῷ κημωθεὶς κώμους στεῖχε συνεξανύειν*, ut jam ad Orph. Argon. 1293. correxi. *Κημωθεὶς* est *φορβειᾷ* vinctus: vide Scholia Aristoph. Eqq. 1147. *Συνεξανύειν* autem, quod tibicinam ipse tibia canens sequebatur.« *Πολιῷ* rectius ad ligni lotini colorem nigrum refertur: Mimnermus perosum sibi senium non videtur attigisse. 39. *ἠδ' ἤχθεε* A teste Ruhnkenio. *ἠδὲ Φέρεκλον* Casaubonus: libri *οὐδὲ Φερέκλην*. Tum 40. *τοιάδ'* PVL: *τοῖανδ'* B: *τ' οιαν* vel *τοίαν* A. Hermannus: »Apertum esse arbitror, hanc in verbis illis sententiam requiri, amore constrictum odium abjecisse Mimnermum inimicorum, cum quibus antea graves iras exercuisset. Similiter Hermesianax in fine fragmenti Aristippum ab solitis disputationibus refugisse dicit. Quare sic scribendum videtur: *δήχθη δ', Ἑρμόβιον τὸν ἀεὶ βαρὺν ἠδὲ Φερεκλῆν ἐχθρὸν μισήσας οἷ' ἀνέπεμψεν ἔπη. Poenituit eum*, inquit, *carminum, qualia effuderat, quum semper sibi gravem Hermobium, inimicumque Phereclem odio persequeretur.*« At de iambicis carminibus Mimnermi non constat. Et *τοῖ' ἀνέπεμψεν ἔπη* Jacobsius. Conjiciebam: *ἤλγεε δ' Ἑρμόβιον τὸν ἀεὶ βαρὺν, οὐδὲ Φερέκλην ἐχθρὸν μισήσας τοῖ' ἀνέπεμψεν ἔπη*, h. e. *οὐκ ἤλγεε Ἑρμ. οὐδὲ Φερ. ἐχθρὸν μισήσας τοῖ' ἀνέπ. ἔπη*, *non aegre ferebat Hermobium semper sibi gravem neque inimicum perosus talia* (qualia in manibus sunt hominum) *carmina amicae misit*: missa ira unam Nannonem carminibus celebravit.

41. *Λυσηίδος* AB: *χρυσηίδος* PVL: *Λυδηΐδος* dubitanter Ruhnkenius. Fuit enim Antimachi sive uxor sive amica et nomine et gente Lyda. Forma tamen aliunde non constat. 43. *δαρδάνη* AB: *δαρδάνην* VL: *περδάνη* P: *λάρνακί νιν δὲ θανοῦσαν* Ruhnkenius. Hermannus cum Lennepio *Σαρδιανήν*, ut poeta aut synizesin aut insuetam correptionem usurpaverit.

* *καλλιωναιζαον δ' ἦλθεν ἀποπρολιπὼν*
ἄκρην ἐς Κολοφῶνα· γόων δ' ἐνεπλήσατο βίβλους
ἱρὰς, ἐκ παντὸς παυσάμενος καμάτου.

Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδείξατο κώμους,
Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον,
γιγνώσκεις. ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ' ὕμνων,
Τήϊον ἀλγύνων ἄνδρα πολυφραδίῃ.
καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφωμίλησ' Ἀνακρείων

---

44. *καλλιωναΐζαον* A: *καλλιωναίζαον* B: *καλλίον' ἴζαον δῆθεν* PVL: *καλλίον' ἴξαον* Casauboni editio secunda. Ilgenius *κλαίων, αἰάζων δ' ἦλθεν*: Riglerus et Axtius *αἴλινον αἰάζων δ' ἦλθεν*: Goettlingius *Δαρδανίην δέ, θανοῦσαν ὅτ' ἐν ξήρῃ θέτο γαίῃ, κάλλιον ἀείδων ἦλθεν ἀποπρολιπὼν ἄκραν ἐς Κολοφῶνα.* Hermannus: *Τμώλιον αἴζαον δ' ἦλθεν;* nam Hesychius *αἰζαόν· τὴν μέσην ὥραν* (*τὴν μετέωρον* Herm.) et *αἰζάων· ὀρῶν ὑψηλῶν.* Osannus ad Apulej. de orthogr. 23. *Κιλλάνιον πεδίον*, quod tamen Strabo XIII, 629. Phrygiae accenset, qui ibidem juxta Caystrianum agrum memorat *τὸ Κιλβιανὸν πεδίον.* Paldamus ad Propert. 393. *Καλλίναον Ξάνθον δ' ἦλθεν ἀποπρ.* Dixisse poeta videtur, Antimachum Lydiae Lydae amore captum in Lydiam se contulisse: mox sepultis ossibus defunctae in patriam Colophonem, quae in promontorio sita *ἄκρη* vocatur, redisse, Ceterum conferendus Plutarchus Moráll. II, 106, B. *Ἀποθανούσης τῆς γυναικὸς αὐτοῦ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωϊκὰς συμφορὰς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην.* 47, Exstant hodieque carminum frustula, quibus Alcaeus Sapphonem, Sappho Alcaeum alloquitur, v. Neue fr. 61. Prolegg. p. 3. et Alcaei fr. XLI. II. Matthiae. *ἀνεδείξατο, dedicavit* Mitscherlichius in Hymn. Hom. Cerer. p. 225. Libri *ἀνεδέξατο.* 49. *ὑμνῶν* A.

50. Athenaeus 599, C. *Ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα.* Et post: *ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος. καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα.* Vide Neue p. 3. Plehn. Lesbiac. 180 sqq. Bergk. Anacr. 100. 51. Hermannus: »Edd. *Ἀνακρείων.* MSS. *Ἀνακρέων*, quod praeferrem, si *ἐφωμίλησεν* plene scriptum invenirem. Valde enim insolenter penultima sub ictu versus pro-

στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσιν·
φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον, ἄλλοτε δ' αὐτὴν
οἰνηρὴν * δοῦριν κεκλιμένην πατρίδα,
Λέσβον ἐς εὔοινον· τὸ δ' ὁμούριον εἴςιδε Λεκτὸν
πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.

Ἀτθὶς δ' οἷα μέλισσα πολυπρήωνα κολώνην
λείπουσ' ἐν τραγικαῖς ἦδε χοροστασίαις
Βάκχον καὶ τὸν Ἔρωτ' * ἀγειραιθειαρειδος
* * * * Ζεὺς ἔπορεν Σοφοκλεῖ.

---

ducitur, et facillime id evitare potuerat poeta, si scripsisset, καὶ γὰρ τὴν ὁ μελιχρὸς Ἀνακρείων ἐφίλησεν.« 52. Hermannus: »Exquisitiora amans poeta dicere videtur τὴν μεταπεμπομένην, ad quam multa miserit carmina Anacreon.« Intelligenda Sappho in pompa multis circumfusas puellis incedens. 53. Sami commorabatur apud Polycratem, Herod. III, 121. 54. δοῦριν VL: δοῦχιν P: δουρὶ Casaubonus: δήρι vel δήρει vel δούρει Bergkius Anacr. 142. Referunt ad Teum ab Harpago captam, v. Herod. I, 168. Nisi poeta οὔρει vel ὄρεσιν dederat, quod cum οἰνηρὴν pulchrius congruit. Teste Strabone Teos ἐπὶ χεῤῥονήσῳ ἵδρυτο.
55. Paldamus ad Propert. 303. Λέσβον ἐς εὔυμνον, cll. Phanocl. Eleg. I, 22. Libri τὸ δὲ μυρίον εἴςιδε λέκτρον: illud Hermannus, hoc Casaubonus correxit, qui τὸ δὲ δὴ ῥίον conjecerat; non inepte Wenschius Μύσιον tentavit, quanquam Lectum, Idae promontorium, Aeolidem et Troadem disterminat, insulae Lesbo oppositum, v. Il. Ξ, 284. cum Scholiis. At constat quam late Mysiae appellatio patuerit. Ὁμούριον, *vicinum*. 57. Libri αὖθις: Ἀτθὶς Ruhnkenius. πολυπρήωνα κολώνην (Κολωνὸν Lennepius) Ruhnkenius; libri πολυπρίωνα κοδώνην. Suidas v. Σοφοκλῆς· προςηγορεύθη δὲ μέλιττα διὰ τὸ ἡδύ. Alludit poeta ad pagum Atticum Κολωνόν, unde Sophocles oriundus erat.
59. αγειραιθειαρειδος AB: ἀγεῖραιθ αρειδὸς PVL. Amicae Theoridis nomen latere perspexit Lennepius: Ath. XIII, 592, A. Σοφοκλῆς ὁ τραγῳδιοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας. — μνημονεύει δὲ αὐτῆς λέγων ἔν τινι στασίμῳ οὕτως: Φίλη γὰρ ἡ Θεωρίς. Hermanno verisimile est hos versus ad hunc fere modum scriptos fuisse:

Ἀτθὶς δ' οἷα μέλισσα, πολυπρήωνα Κολωνὸν
λείπουσ', ἐν τραγικαῖς ἦδε χοροστασίαις
Βάκχον, καὶ τὸν ἔρωτ' ἀνέγειρε Θεωρίδος, [οἶσθα],
[τεχνοσόφῳ φρενί, τὴν] Ζεὺς ἔπορεν Σοφοκλεῖ.

Vel [καὶ γεραιῷ γὰρ ἐρᾶν]. Mire Reisigius Oed. Col. IV.

Φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα
*καὶ * πάντων μῖσος κτώμενον ἐκ συνοχῶν*
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου, νυκτερινὰς οὐκ ἀποθέσθ᾽ ὀδύνας.
*ἀλλὰ Μακηδονίης πάσας * κατενίσατο λαύρας,*
** Αἰγείων μέθεπεν δ᾽ Ἀρχέλεω ταμίην,*
εἰςόκε τοι δαίμων, Εὐριπίδη, εὕρετ᾽ ὄλεθρον,
ἀμφὶ βίου στυγνῶν ἀντιάσαντι κυνῶν.

Ἄνδρα δὲ, τὸν Κυθέρηθεν ἀνεθρέψαντο τιθῆναι
Βάκχου καὶ λωτοῦ πιστότατον ταμίην,
Μούσαις παιδευθέντα Φιλόξενον, οἷα τιναχθεὶς
*ὠρυγῇ ταύτης * ἦλθε διὰ πτόλεως,*

Riglerus et Axtius: *γέρας δὲ Θεωρίδι δῶκεν ᾠδῶν, ὧντε χάριν Ζεὺς ἔπορεν Σοφοκλεῖ.* Ruhnkenius *ἔρωτα γεραῖραι* . . . .

62. Jacobsius: *ἠδ᾽ ἁπαλῶν μῖσος κτώμενον ἐξ ὀνύχων.* Hermannus: *καὶ σπανίων μῖσος κτώμενον ἐκ συνόδων.* Nam Moschopulus in Vita Euripidis: *σκυθρωπὸς δὲ τὸ ἦθος ἦν καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας· ὅθεν καὶ μισογύνης ἐδοξάσθη.* Riglerus et Axtius: *καὶ πρώτων μῖσος κτ. ἐξ ὀνύχων.* 65. *κατενίσσατο* Hermannus: malim *κατεδύσατο.*

66. *Αἰγείων* nomen amicae Euripideae continere videtur: Moschopulus Vita Euripidis: *Ἕτεροι δὲ ἱστόρησαν, οὐχ ὑπὸ κυνῶν, ἀλλ᾽ ὑπὸ γυναικῶν αὐτὸν διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κράτερον τὸν ἐρώμενον Ἀρχελάου. καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας. οἱ δέ, πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου.* Ilgenius *Αἰγεινῷ.* Bergkius Commentatt. Com. Att. 96. *Μακηδονίη — Αἰγειῶν* vel *Αἰγάων*, quum Aegae regni Macedonici caput fuisse videantur.

67. *εἰςόκε τοι δαίμων, Εὐριπίδη, εὕρετ᾽ ὄλεθρον* Porsonus: Codices (*τοι* omisso) *Εὐριπίδη* habent: *εὗρετ᾽* AB: *εὗρεν* PVL: *σοί* Bergkius. 68. Hermannus et Bergkius *Ἀμφιβίου*: Moschopulus Lysimachum vocat. 69. *τε* B. Tum vulgo *ἀνετρέψαντο.* Hermanno elegantius scribi videtur: *ἄνδρα δὲ τὸν Κυθέρηθεν, ὃν ἐθρέψαντο.* Non assentior. 71. Legebatur *Μοῦσαι, παιδ.* Hermannus: »*Παιδευθέντα* significat *castigatum*: respicit enim poeta poenam, qua affectus a Dionysio fuerat Philoxenus: unde ille *τιναχθείς*, *vehementer commotus*, magno cum ejulatu per urbem Colophonem transiit, quum se in patriam Cythera reciperet.« Potius Philoxenus Cytheris profectus videtur Ephesum, ubi obisse fertur.

γιγνώσκεις, ἀΐουσα μέγαν πόθον, ὃν Γαλατείης
αὐτοῖς μηλείοις θῆκαθ᾽ ὑπὸ προγόνοις.

Οἶσθα δὲ καὶ τὸν ἀοιδὸν, ὃν Εὐρυπύλου πολιῆται
Κῷοι χάλκειον θῆκαν ὑπὸ πλατάνῳ,
Βιττίδα μολπάζοντα θοὴν, περὶ πάντα Φιλητᾶν
ῥήματα καὶ πᾶσαν ῥυόμενον λαλιήν.

Οὐδὲ μὲν οὐδ᾽ ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων, σκολιὴν μαιόμενοι σοφίην,
οὓς αὐτὴ περὶ πικρὰ λόγοις ἐσφίγξατο μῆτις
καὶ δεινὴ μύθων κῆδος ἔχουσ᾽ ἀρετή,
οὐδ᾽ οἳ δεινὸν ἔρωτος ἀπετρέψαντο κυδοιμὸν
φαινόμενον, δεινὸν δ᾽ ἦλθον ὑφ᾽ ἡνίοχον,

---

73. *ἀΐουσα μέγαν* Ruhnkenius: *καὶ οὖσαν μέγαν* ABP: *καὶ οὐσαμέγαν* V; *καίουσα μέγαν* L. 74. Libri *μηλίοις*: correxit Heringa. Hermannus: »Tibicina illa fuit, amata Dionysio, ut ex Athenaeo I, 6, F. sq. compertum habemus: (*ἐπειδὴ δὲ Φιλόξενος τὴν ἐρωμένην Γαλάτειαν ἐφωράθη διαφθείρων, εἰς τὰς λατομίας ἐνεβλήθη, ἐν αἷς ποιῶν τὸν Κύκλωπα, συνέθηκε τὸν μῦθον εἰς τὸ περὶ αὐτὸν γενόμενον πάθος, τὸν μὲν Διονύσιον Κύκλωπα ὑποστησάμενος, τὴν δ᾽ αὐλητρίδα Γαλατείαν, ἑαυτὸν δ᾽ Ὀδυσσέα.*) Eam Hermesianax dicere videtur, primum oves pavisse, eoque jam tempore amore incendisse Philoxenum.« Hesychius *Πρόγονοι· οἱ πρωτόγονοι ἄρνες.* Ilgenio poeta dicere videbatur, Philoxenum Galateae desiderium vel ipsis agnis incussisse. Nobis locus valde corruptus esse videtur. 75. Il. *B*, 677. *Κῶν Εὐρυπύλοιο πόλιν.* Propert. IV, 5, 23. 77. *Βαττίδα* Scaliger: nam Ovidius Tristt. I, 6, 2. et Pont. III, 1, 58. Battidem vocat. 78. *τρυόμενον* Hermannus. *ἐκτήσαντο* Porsonus. 80. *σκοτίην* Heinrichius. 81. *αὐτοί* B. Hermannus *αὐή*, *quos anhelans cura disputando de rebus amoris macilentos reddit.* Porsonus *πυκνά.* Hermannus: *Πικρὰ vel amori opposita, vel acuta intellige.* *Περίπικρα* Riglerus et Axtius. 82. *κῆδος* A: *κῦδος* PVL. 83. *οἶδεν ὃν* AB: *οἱ δὲ τόν* P: *οἳ δεινόν* V. Vulgo ex Westoni conjectura *οἶδ᾽ αἰνόν.* Aldi scripturam Hermannus tuetur usui epicae dictionis congruam, ut apud Homerum *οὐδὲ μὲν οὐδ᾽ οἳ ἄναρχοι ἔσαν.* *ἀπεστρέψαντο* AB: *ἀπετρέψαντο* PVL, quod Hermanno placet, quum pateat, non dici illos non aversatos esse bellum Amoris, sed propulsare nequivisse.

84. Hermannus *φθανόμενοι δεινὸν δ᾽ ἦλθον ὑφ᾽ ἡνίοχον.* Heinrichius *μαινόμενοι δ᾽ ἦλθον.*

*Οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
  Πυθαγόρην, ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον, καὶ κύκλον ὅσον περιβάλλεται αἰθὴρ
  βαιῇ ἐνὶ σφαίρῃ πάντ᾽ ἀποτασσόμενον.*

*Οἵῳ δ᾽ ἔχλίηνεν, ὃν ἔξοχον ἔχρη Ἀπόλλων
  ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ,
Κύπρις μηνίουσα πυρὸς μένει· ἐκ δὲ βαθείης
  ψυχῆς κουφοτέρας ἐξεπόνησ᾽ ἀνίας,
οἰκί᾽ ἐς Ἀσπασίης πωλεύμενος· οὐδέ τι τέκμαρ
  εὗρε, λόγῳ πολλὰς εὑρόμενος διόδους.*

*Ἄνδρα Κυρηναῖον δ᾽ εἴσω πόθος ἔσπασεν Ἰσθμοῦ
  δεινός, ὅτ᾽ * ἀπιδανῆς Λαΐδος ἠράσατο
ὀξὺς Ἀρίστιππος, πάσας δ᾽ ἠνήνατο λέσχας
  φεύγων * οὐδαμένον ἐξεφόρησε βίω.*

---

86. Heinrichius *καμψά*, *flexus curvos, spiras.* 88. *βαιῇ ἐνὶ*] *βίης ἐν* ABP: *βαιῇ τ᾽ ἐν* VL. Illud Dindorfius. Hemsterhusius: *βαιῇ τ᾽ ἐν σφαίρῃ πάντ᾽ ἀπομασσόμενον.* »*Ἀποτασσόμενον* proprie est distribuentem.« Hermannus. Probo Hemsterhusium: Pythagoras *universum orbem terrarum in exigua sphaera effinxit.* 89. *ἔχλίηνεν ὃν* Heringa: libri *ἐχλειημένον.* *ἔχρη Ἀπόλλων ἀνθρώπων εἶναι* Porsonus. Wyttenbachius *εἶναι Ἀπόλλων ἔχρησ᾽ ἀνθρώπων.* AB *ἐχρῆν πολλῶν δ᾽ ἀνθρώπων εἶναι*: PVL *ἐχρῆν* (sequitur lacunae indicium) *εἶναι πολλῶν δ᾽ ἀνθρώπων.* Vide Platonis Apolog. 21, A. 92. PVL *κουροτέρας.* *Quum ex profunda mente leviores curas elaborasse Socrates dicitur, in his eum curis mentem suam, alias in rebus gravissimis occupatam, exercuisse significat poeta.* Hermannus. 94. Heringa *λόγων*: Hermannus *Recte*, ait, *libri λόγῳ. Hoc enim dicit poeta, non potuisse facto finem invenire Socratem, quum tamen verbis ubique se expedire didicisset. Non male legeretur Οὐδέ τι τέκμαρ εὗρ᾽ ὁ λόγῳ πολλὰς εὑρόμενος διόδους.* Ceterum *εὑράμενος* libri: correxit Dindorfius. 95. Libri omittunt *δ᾽*. Unde Hermannus *ἄνδρα δὲ Κυρηναῖον ἔσω πόθος ἔσπασεν Ἰσθμοῦ δεινός*, ubi *δεινόν* librorum scripturam emendavit Ruhnkenius.
96. Ruhnkenius *εὐπιθάνης*: Hermannus *ἀπιθάνης*, *non quod Aristippus eam magna pecunia conduxerit, sed quod florida aetate difficilis aditu fuit, de qua re scriptum apud* Ath. XIII, 570, B. C. 585, D. 98. Porsonus *ἐξ Ἐφύρης ἐβίω.* Hermannus: *φεύγων εὐλιμένων ἐξ Ἐφύρης ὁρίων. Aeginam enim*, inquit, *cum*

XVI. Phanoclis Elegiae.

Phanocles, quem post aetatem Demosthenis vixisse scimus, v. Clementem ad fr. 2., quam patriam habuerit incompertum est. Elegiae ipsius, quibus amores masculos celebraverat, *Ἔρωτες ἢ καλοὶ* inscriptae erant. Vide Welckeri Vindicias Sapphonis 31 sqq.

1.

Ἢ ὡς Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην.
Πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων
ὃν πόθον· οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.
Τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον, εὐήκη φάσγανα θηξάμεναι,

Laide petere consueverat Aristippus, teste Ath. 588, E. *Ἀρίστιππος δὲ κατ' ἔτος συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις. Nec solo id Neptuniorum tempore factum esse idem Ath. indicat* 544, D. *διέτριβε δ' ὁ Ἀρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν.* Friedemannus de Med. Syll. Pent. 298. *οὐδ' ἀνέμων ἐξεφοβεῖτο βίαν,* quia Aristippum Isthmum navigantem vehementissima tempestate maris correptum summum adisse vitae discrimen scribunt Diog. L. IV, 142. Huebner. et Aelian. V. H. IX, 20. In eundem intellectum facilior erit correctio haec: *οὐδ' ἀνέμων ἐξεφόβησε βίη.* Ceterum de Aristippi cum Laide consuetudine v. Fr. Jacobsii Scripta Miscell. IV, 403 sqq. 425 sqq.

Phanoclis Fr. 1. Stobaeus Floril. LXIV, 14. Tractavit Ruhnkenius Ep. Crit. II, 323 (299). 4. *οὐδέ οἱ ἦν* Hermannus Orph. 785. 5. *ὑπὸ ψυχήν* B. *μελεδῶναι* AB Voss. Arsen.: vulgo *μελεδῶνες*, v. Lobeck. Parall. I, 146. 6. Vulgo *δερκόμενον*: AB Voss. *δερκομένου.* Intellige cum Valckenario Diatr. Eur. 199, C. *μελεδῶναι δερκομένου Κάλαϊν ἔτρυχον αὐτόν.* Praetulit poeta genitivum ob perspicuitatem. 8. Ita libri optimi: vulgo *εὐμήκη*, v. Schaefer. Greg. Cor. 533.

οὕνεκα πρῶτος δεῖξεν ἐνὶ Θρήκεσσιν ἔρωτας
 ἄῤῥενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.
Τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν
 εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ,
ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
 ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
Τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα·
 ἠχὴ δ' ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
 ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν·
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
 πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
Ἐκ κείνου μολπή τε καὶ ἱμερτὴ κιθαριστὺς
 νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη.

---

9. *πρῶτος δεῖξεν* A: vulgo *πρῶτον ἔδειξεν*. Confer Ovid. Metam. X, 83 sqq. 15. Ovid. Metam. IX, 50 sqq. Plehn. Lesbiacc. 138 sqq. 17. *Πέτρη ἁλιμυρής* Apoll. Rhod. I, 913. ubi Scholia *τὴν ὑπὸ θαλάσσης περιῤῥεομένην* interpretantur. 20. *Φόρκον Orcum, στυγνὸν ὕδωρ Stygiam undam* intelligunt Muellerus Orchom. 155. Welckerus Trilog. Aesch. 383. Meinekius Euphor. 122. Jacobsius Lectt. Stob. 106. Ruhnkenius *mare* intelligebat, cui ita assentitur Lobeckius Aglaoph. 863 sq., ut dici arbitretur eam partem maris, »qua Symplegades eminent, nautis omnibus formidabiles, quam partem Phorco ille *ἁλὸς ἀτρυγέτοιο μέδοντι* multorumque monstrorum progenitori quasi propriam dicionem subjectam fuisse e Carystii loco (Scholl. Theocr. III, 22. *Καρύστιος Περγαμηνός φησι Κυανέας μὲν ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ θεῶν ὄρκου πύλας* [*Φόρκου* Meinekius] *εἰρῆσθαι.*) colligi potest, si ille Symplegades tanquam vastissimi regni ostia *Φόρκου πύλας* nominavit. Ceterum Phanocli obversatum quidem videtur Orphei iter Colchicum et Planetarum transvectio, de qua ipse narrat in Argon. v. 707. *αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι πέτρας ἠλιβάτους*, sed tamen ita ut Orpheo universe vim et potestatem sedandorum fluctuum tribuat, alioqui *ἔπεισε* scripsisset, non *ἔπειθε*.« Addit Lobeckius ab Orpheo *ventos frenari et undas* apud Claudian. Praef. L. II. Rapt. 17. Adde Simonidis Epinic. fr. XVIII. Denique haec subjicit: »Si expressam hujus facti (itineris Colchici) memoriam proponere voluisset Phanocles, non *ἀναύδους* scripsisset, quod saxis in universum, non illis tumultuosissimis scopulis convenit, sed *ἀναιδέας*, quod unicuique primum occurrit. Dionysius Perieg. v. 143. *κυανέας ὅθι μῦθος ἀναιδέας εἰν ἁλὶ πέτρας*.« 22. Sic A: *πασέων τ'* vulgo: *πασέων* Trincavellus.

Θρῆκες δ' ὡς ἐδάησαν Ἀρήϊοι ἔργα γυναικῶν
ἄγρια καὶ πάντας δεινὸν ἐςῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι
κυάνεα, στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ' Ὀρφῆϊ κταμένῳ στίζουσι γυναῖκας
εἰςέτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

2.

Ἀλλὰ τὸ Μοιράων νῆμ' ἄλλυτον οὐδέ πη ἔστιν
ἐκφυγέειν, ὁπόσοι γῆν ἐπιφερβόμεθα.

3.

Ἢ ὡς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος
ἥρπασεν, ἠγαθέην Κύπρον ἐποιχόμενος.

XVII. Alexandri Pleuronii.

Olymp. CXXVII.

Suidas: *Ἀλέξανδρος Αἰτωλὸς ἐκ πόλεως Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. οὗτος καὶ τραγῳδίας ἔγραψεν· ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.*

---

23. *Ἀρήϊοι* A. Voss. Ars. marg. Gesn. Reliqui *ἀρήϊα*. 26. *μὴ 'κλελάθοιντο* B. 27. *τίνουσι γυναῖκες* Ruhnkenius, ipse afferens Plutarch. Ser. N. V. 2. *Οὐδὲ γὰρ Θρᾷκας ἐπαινοῦμεν, ὅτι στίζουσιν ἄχρι νῦν, τιμωροῦντες τῷ Ὀρφεῖ, τὰς αὑτῶν γυναῖκας.* Ceterum cfr. Herod. V, 6.

Fr. 2. Clemens Alex. Stromm. VI, 750. Potter. *Δημοθένους εἰπόντος· Πᾶσι γὰρ ἡμῖν ὁ θάνατος ὀφείλεται καὶ τὰ ἑξῆς, ὁ Φανοκλῆς ἐν Ἔρωσιν ἢ Καλοῖς γράφει· Ἀλλὰ κτλ.* 1. *οὐδέ πως* Paris.: *οὐδέ ποτ'* Klotzius.

Fr. 3. Plutarch. Morall. II, 671, B. *Τὸν Ἄδωνιν οὐχ ἕτερον, ἀλλὰ Διόνυσον εἶναι νομίζουσι καὶ πολλὰ τῶν τελουμένων ἑκατέρῳ περὶ τὰς ἑορτὰς βεβαιοῖ τὸν λόγον· οἱ δὲ παιδικὰ τοῦ Διονύσου γεγονέναι. καὶ Φανοκλῆς, ἐρωτικὸς ἀνήρ, ὧδέ πως πεποίηκεν· Εἰδὼς θεῖον κτλ.* Emendavit Lenzius.

I. Ἀπόλλων.

1.

Παῖς Ἱπποκλῆος Φόβιος Νηληϊάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ᾽ ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἠλάκατ᾽ ἐν θαλάμοις καλὸν ἑλισσομένης
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεὺς,
ὅρκι᾽ ὁμηρείης πίστ᾽ ἀποδωσόμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· — οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ᾽ Ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱὸν, ἀφ᾽ οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις —·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων·
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος

Alexandri Pleuronii. I. *Ἀπόλλων.* Fr. 1. Parthenius Erot. XIV. *Ἔφασαν δέ τινες, οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖςδε ἐν Ἀπόλλωνι.* Vaticinantem Apollinem ſecit Alexander, ut Lycophron Cassandram, alios alii poetae, v. Mitscherlich. Horat. Carmm. I, 15. in Argumento. Eandem fabulam de amoribus Anthei et Cleoboeae narraverat Aristoteles et fabularum Milesiacarum auctores. 2. De ſorma *ἰθαιγενής* v. Lobeck. Phryn. 648. 5. *Ἀσσησός· πόλις Μιλησίας γῆς,* Steph. Byz. s. v. Alii Assesum regem interpretantur, v. Wesseling. Herod. I, 19. recte, nam Parthenius: *ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς, ἐκ βασιλείου γένους, ὡμήρευσε παρὰ Φοβίῳ.* 6. Legrandius *ἐπιβωσάμενος.* Vulgatam explica: *Antheus fida pignora reddet tradita sibi a patre rege.* 9. *θηλήσει* Passovius: codex *θελήσει.* Actaeonem dicit, Melissi filium, cujus amore Archias unus ex Heraclidis quum exarsisset, Actaeoni autem recusanti vim adhibere conatus interfecisset puerum, proſugus Corintho Syracusas coloniam duxit, v. Plutarchi Amator. Narratt. 772, D sqq. Muelleri Dorr. I, 115 sq. . 11. Est Epanaphora v. 5. *ᾧ ἔπι* Legrandius: codex *ᾧ ἔνι.* 12. *λιθόλευστον ἔρων* *amorem gravissimis poenis dignum.* 13. Il. *Z*, 160 sqq. Heynius *ἀθέμιστα τελέσσαι.*

σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα, θαλάσσῃ,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος·
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεὺς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
γαυλός μοι χρύσεος· φρείατος ἐκ μυχάτου
νῦν ὅ γ' ἀνελκόμενος διὰ μὲν καλὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς Νύμφας ᾤχετ' ἐφυδριάδας·
πρὸς σὲ θεῶν, ἀλλ' εἴ μοι, ἐπεὶ καὶ παισὶν ἀκούω
ῥηϊδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης.
ὧδε μὲν ἡ Φοβίου Νηλεΐδαο δάμαρ
φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς, ἀπὸ μὲν Λελεγήϊον εἷμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμενῆς·
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέροις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
καὶ τόδ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος

---

15. *ἐν Φοβίου*, *in aedibus Phobii.* *θαλάσσῃ* Legrandius: codex *θαλάσσης*. Brunckius *ἅλα ξυνεῶνα τραπέζης*. 23. *Ἀλλ'*, v. Theogn. 341 ibique notata. *παισίν* Piersonus: vulgo *πᾶσιν*. Vide Odyss. Z, 300. *πρὸς σὲ θεῶν*, v. de omisso verbo *ἱκετεύω* similive Valcken. Eur. Phoen. 1659. Pors. Med. 325. 26. *Νειλιάδαο* codex: correxit Brunckius: Passovius *Νηλιάδαο*. 27. *Λελεγήϊον εἷμα*, h. e. *Μιλήσιον*. Nam Miletus et ipsa vocata *Λελεγηΐς*, v. Steph. Byz. s. v. *Μίλητος*. 30. Hesychius *λιρός· ἀναίσχυντος, ἀναιδής, θρασύς*. *Λῖρος* scribit Choeroboscus Orthogr. Crameri Ann. Oxx. II, 235, 3. *Λῖρος· σημαίνει τὸν ἀναιδῆ, διὰ τοῦ ι· παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ ἀναιδεῖς λίαν ὁρῶσιν.* 32. Vulgo *καὶ τόθ'*. Passovius: »*Atque hunc* (siquidem *καὶ τόδ' ὁ μὲν ξ. π. ἀ.* legendum) *fatalem tumulum* (imum putei fundum) *premet hospitum longe infelicissimus.* Ac plerumque quidem terra sive tumulus mortuum premere dicitur: hic vero rem invertit poeta ingeniosus, suo usus jure: *ὀγκῶσαι* enim *ἠρίον* recte dicitur de eo, qui graviter cubat in tumulo, quem nunquam est relicturus: apud Latinos nihil est frequentius hoc verbi *premere* usu.« Jacobsius conjecerat: *καὶ τόδε μὲν ξείνων πολλὸν ἀποτμοτάτῳ* sqq. *hunc tumulum* (Cleoboea) *hospitum infelicissimo exstruet.* Sic etiam Hofmann-Peerlkamp. Bibl. Crit. Nov. II, 216. cll. inter alia Eur. Ion. 388. *ὀγκωθῇ τάφῳ*.

ἠρίον ὀγκώσει τὸ μεμορμένον· ἡ δ᾽ ὑπὸ δειρὴν
  ἀψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

II. Μοῦσαι.

2.

Ἀλλ᾽ ὅγε πευθόμενος πάγχυ Γραικοῖσι μέλεσθαι
  Τιμόθεον κιθάρης ἴδμονα καὶ μελέων,
υἱὸν Θερσάνδροιο, * τὸν ᾔνεσαν ἀνέρα σίγλων
  χρυσείων ἱερὴν δὴ τότε χιλιάδα,
ὑμνῆσαι ταχέων Ὦπιν βλήτειραν ὀϊστῶν,
  ἥτ᾽ ἐπὶ Κεγχρειῷ τίμιον οἶκον ἔχει.
et mox:
Μηδὲ θεᾶς προλίπῃ Λητωΐδος ἀγλαὰ ἔργα.

III. Ἄδηλον ἐλεγεῖον.

3.

Ὡς Ἀγαθοκλῆος λάσιαι φρένες ἤλασαν ἔξω
  πατρίδος· ἀρχαίων ἦν ὅδ᾽ ἀνὴρ προγόνων,

II. *Μοῦσαι.* Fr. 2. Macrobius Saturnall. V, 22. *Alexander Aetolus poeta egregius in libro qui inscribitur* Musae, *refert, quanto studio populus Ephesius dedicato templo Dianae curaverit praemiis propositis, ut qui tunc erant poetae ingeniosissimi, in deam carmina diversa componerent. In his versibus Opis non comes Dianae, sed Diana ipsa vocata est. Loquitur autem, ut dixi, de populo Ephesio: Ἀλλ᾽ κτλ.* De Timotheo Milesio v. Muelleri Dorr. II, 324 sq. 1. *Γραικοῖσι,* h. e. *Ἕλλησι,* v. Niebuhr. Hist. Rom. I, 60. Wachsmuth. Antiqq. Gr. I, 310 sq. 3. Libri *τὸν ᾔνεσεν* et 4. *ἱερὴν δὴ τότε χιλιάδα.* Conjectant *τὸν ᾔνεσαν ἀνέρα σίγλων χρ. ἱερῇ δὴ τότε χιλιάδι,* vel *κατῄνεσαν ἀνέρι σ. χ. ἱερὴν δ. τ. χιλιάδα.* De *σίγλοις,* numismate Persico, v. Xenoph. Anab. I, 5, 6. *Ἱερὴν* vocat *χιλιάδα* expensam in honorem deae. 5. *Ὦπιν,* v. Virg. Aen. XI, 532. ibique Servium. 6. Vulgo *ἡ δ᾽ ἐπὶ Κεγχρειῶν:* emendavit Meinekius. De Cenchreo Ephesii agri fluvio v. Paus. VII, 5, 10. Strabo XIV, 639. Tacit. Annall. III, 61. 7. Legebatur *θεῆς. ἀγλαά* Brunckius: vulgo *ἄκλεα.*

III. *Ἄδηλον.* Fr. 3. Athen. XV, 699, B sq. *Ὅτι ἦν τις περὶ αὐτοὺς* (parodos) *δόξα παρὰ τοῖς Σικελιώταις Ἀλέξαν-*

εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
  ξεῖνος· Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰὼν,
παιδομανεῖ σὺν ἔρωτι ποτ' ἦν ἴσον. ἔγραφε δ' ὡνὴρ
  εὖ, παρ' Ὁμηρείην ἀγλαΐην ἐπέων,
πισσύγγους, ἢ φῶρας ἀναιδέας, ἤ τινα χλούνην,
  φλοίων ἀνθηρῇ σὺν κακοδαιμονίῃ·
τοῖα Συρηκοσίοις καὶ ἔχων χάριν. ὃς δὲ Βοιωτοῦ
  ἔκλυεν, Εὐβοίῳ τέρψεται οὐδ' ὀλίγον.

XVIII. Eratosthenis Cyrenaei.

Olymp. CXXXVII.

Suidas: *Ἐρατοσθένης Ἀγλαοῦ, οἱ δὲ Ἀμβροσίου, Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. Μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου*

δρος ὁ Αἰτωλὸς ὁ τραγῳδιοδιδάσκαλος ποιήσας ἐλεγεῖον τρόπον τοῦτον δηλοῖ· Ὡς Ἀγαθοκλῆος κτλ. Sunt qui hos versus ab Alexandro tanquam epigramma sepulcrale Boeoti Siculi parodi conscriptos statuant: perperam. De Boeoto et Euboeo v. 10. memorato v. Weland. de Praecip. Carmm. Hom. Parodis 41 sqq. 1. Conjiciunt Ὃν δ' Ἀγαθ. vel ὅν γ' Ἀγ. — πατρίδος, ἀρχ. 4. Libri δεῖ σε πόσα κρονίων: emaculavit Casaubonus. Mimnermiana vivendi praecepta secutus dicitur Boeotus, cui nihil vita praeter χρυσέην Ἀφροδίτην fuisse videtur. 5. Libri πότην: emendavit Jacobsius. Alii πότης ἴσος. Mimnermi amores in mulieres aequasse Boeoti amores masculos dicere videtur poeta. δ' ὡνὴρ εὖ Schweighaeuserus: libri δ' ὠ 'νηρεῦ, δ' ὦ νηρεῦ, δ' ὧν ἡρεῦς. 6. παρ' Ὁμηρ., *detorquens Homeri verba in res ludicras.* 7. Sic Westonus: libri πισσυγάση φωρωσεν αἴδεας, φωρασε ναιδέας, φωρᾶσαν αἰδέας, φωρῶσαν ἀειδέας. 8. φλύων Schweighaeuserus: φλοίων PVL: φλοίοντ' Capellmannus. At referenda verba ad ipsum parodum Homericis verbis magnificis venuste et vafre ad res vilissimas abusum. 9. Libri ὡς δὲ Βοιωτούς: emendavit Casaubonus et Jacobsius.

Eratosthenis Cyrenaei. Elegiaci carminis, quod Erigonae nomine inscripsit poeta — διὰ πάντων ἀμώμητον τὸ ποιημάτιον ait Longinus de Sublimi XXXIII, 5. — summam com-

Πτολεμαίου καὶ διέτριψε μέχρι τοῦ πέμπτου. Διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας, τοῖς ἄκροις ἐγγίσαντα, Βῆτα ἐπεκλήθη. Οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι πένταθλον ἐκάλεσαν. Ἐτέχθη δὲ ρκϛ´ Ὀλυμπιάδι καὶ ἐτελεύτησε π´ ἐτῶν γεγονὼς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον. Ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, Ἀστρονομίαν ἢ Καταστερισμοὺς, περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πολλοὺς καὶ γραμματικὰ συχνά.

Ἠ ρ ι γ ό ν η.

1.

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ᾽ ἂν ἐς ἄνδρας
ἔλθῃ· κυμαίνει δ᾽ οἷα Λίβυσσαν ἅλα

---

plectuntur Scholl. A Il. *X*, 29. *Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος, ἔσχε δὲ θυγατέρα μονογενῆ Ἠριγόνην, ἥτις κύνα νήπιον ἔτρεφε. ξενίσας δέ ποτε ὁ Ἰκάριος τὸν Διόνυσον ἔλαβεν ἀπ᾽ αὐτοῦ οἶνόν τε καὶ ἀμπέλου κλῆμα. κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας περιῄει τὴν γῆν προφαίνων τὴν τοῦ Διονύσου χάριν, ἔχων σὺν ἑαυτῷ τὸν κύνα. γενόμενος δὲ ἐκτὸς τῆς πόλεως βουκόλοις οἶνον παρέσχεν· οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτράπησαν, οἱ δὲ περιλειπόμενοι, νομίσαντες θανάσιμον εἶναι φάρμακον τὸ πόμα, πλήσσοντες ἐφόνευσαν τὸν Ἰκάριον. μεθ᾽ ἡμέραν δὲ νηψάντων αὐτῶν, καταγνόντες ἑαυτῶν εἰς φυγὴν ἐτράπησαν. ὁ δὲ κύων ὑποστρέψας πρὸς τὴν Ἠριγόνην δι᾽ ὠρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γεγονότα. ἡ δὲ μαθοῦσα τἀληθὲς ἑαυτὴν ἀνήρτησε. νόσου δὲ ἐν Ἀθήναις γενομένης, κατὰ χρησμὸν Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσίαις ἐγέραιρον τιμαῖς· οἳ καὶ καταστερισθέντες Ἰκάριος μὲν Βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος· ὁ δὲ κύων τὴν αὐτὴν ὀνομασίαν ἔσχεν. ἡ ἱστορία παρὰ Ἐ ρ α τ ο σ θ έ ν ε ι.* Addunt Scholl. BD *ἱστορεῖ Ἐ ρ α τ ο σ θ έ ν η ς ἐ ν τ ο ῖ ς ἑ α υ τ ο ῦ κ α τ α λ ό γ ο ι ς*, v. Bernhardy Eratosthenicc. 113.

Fr. I. Athenaeus II, 36, F. *Κατὰ τὸν Κ υ ρ η ν α ῖ ο ν π ο ι η τ ὴ ν Ο ἶ ν ο ς κτλ.* Stobaeus Floril. XVIII, 3. *ἐς ἄνδρα* Stobaeus. Pluralem praeter Athen. habet Clemens Alex. Paedag.

Βοῤῥῆς ἠὲ Νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

2.

Καὶ βαθὺν ἀκρήτῳ πνεύμονα τεγγόμενος.

3.

* *Εὖ τοι ὅσοις φαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον.*

4.

Ἄστυ δὲ δὴ Θορικοῦ καλὸν ἵκανεν ἕδος.

5.

Ἰκαρίου ποσὶ πρῶτα περὶ τράγον ὠρχήσαντο.

II, 183. Confer Panyasin Ath. 37, A. *Οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ ἐσθλόν.*

Fr. 2. Macrob. Sat. VII, 15. *In pulmonem defluere potum nec poetae nobiles ignorant.* Eratosthenes: *Καὶ βαθὺν κτλ.* Vide Alcaei fr. XXVIII. Matth.

Fr. 3. Scholl. Nicandri Ther. 472. *Μόσυχλος δὲ ὄρος τῆς Λήμνου, ὡς Ἀντίμαχος* (fr. XXVI. Schellenberg.) — *καὶ Ἐρατοσθένης· Εὖ τοι ὅσοις φ. κτλ. Εὔϊος ὅς φ.* Bernhardy: nisi praestat *Εὔϊος ὃν φ.* Ceterum codex Gotting. *Ἐρ. φησί· Παμφαίνεσκε κτλ.* Scriptura incerta. De Mosychlo v. Buttmanni Mythologum.

Fr. 4. Steph. Byz. s. v. *Ἄστυ. Λέγεται ἄστυ καὶ ὁ δῆμος, ὡς Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ· Ἄστυ κτλ. ὅτι δὲ δῆμος Θορικὸς δῆλον ἐστί.* Codices *εἴς τε δή, εἰ ὅτε δή*: emendavit Bernhardy.

Fr. 5. Hyginus II, 4. *Dicitur hircus in vineam se conjecisse et quae ibi tenerrima folia videret, decerpsisse, quo facto Icarium irato animo tulisse eumque interfecisse ac vento plenum praeligasse et in medium projecisse suosque sodales circum eum saltare coegisse.* Itaque *Eratosthenes* ait: *Ἰκαρίου κτλ.* Vide Welckeri Append. Trilog. Aeschyl. 222 sqq.

XIX. Parthenii Nicaeensis.

Floruit sub Augusto.

Suidas: *Παρθένιος, Ἡρακλείδου καὶ Εὐδώρας· Ἕρμιππος δὲ Τήθας φησί· Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής. Οὗτος ἐλήφθη ὑπὸ Κίννα λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν· εἶτα ἠφείθη διὰ τὴν παίδευσιν καὶ ἐβίω μέχρι Τιβερίου τοῦ Καίσαρος. Ἔγραψε δὲ ἐλεγεῖα εἰς Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς, Ἀρήτης ἐγκώμιον ἐν τρισὶ βιβλίοις καὶ ἄλλα πολλά.* **Vide Clinton. Fastt. Hell. III, 548.**

1.

Ἀμυσχρὸν οὔνομ᾽ ἔσσετ᾽ Ἀρχελαΐδος.

2.

Ἵλαος ταύτην δέχνυσο πυρκαΐην.

3.

Ὅστις ἐπ᾽ ἀνθρώπους ἔξυσεν αἰγανέην.

4.

Ἀμφοτέροις ἐπιβὰς ἄρπυς ἐλῄσατο.

Parthenii Nicaeensis Fr. 1. Hephaestion. 9. Gaisf. *Παρθένιος ἐπικήδειον εἰς Ἀρχελαΐδα γράφων ἐλεγειακὸν, τὸν τελευταῖον μόνον στίχον ἀντὶ ἐλεγείου ἰαμβικὸν ἐποίησεν, ἐν ᾧ τὸ ὄνομα ἐρεῖν ἔμελλεν· Ἀμυσχρὸν κτλ. Ἀμυσχρὸν* Hesychio teste est *καθαρόν, ἁγνόν, ὁλόχροον.*

Fr. 2. Choeroboscus Bekkeri Ann. 1383. *Ὅτι τὸ ἵλαος ἐκτείνει τὸ ᾱ, ἐδήλωσε Παρθένιος ἐν τῷ Βίαντι εἰπών· Ἵλαος κτλ. Ἔστι δὲ ἐλεγεῖον.* De forma *δέχνυσο* Buttmann. Gr. Max. II, 102.

Fr. 3. Schol. V. Homer. Il. *I*, 446. *Παρθένιος ἐν Βίαντι συνέστειλεν* (verbum *ξύειν*)· *Ὅστις κτλ.*

Fr. 4. Etym. M. 148, 34. *Ἄρπυς ὁ ἔρως, ὡς παρὰ Παρθενίῳ ἐν Κριναγόρᾳ· Ἀμφοτέροις κτλ. παρὰ*

5.

Μάρτυρα δ' ἄμμιν
τὴν ἐπὶ Γαδείρα λεῖπε θεημοσύνην,
ἀρχαίου Βριάρηο ἀπ' οὔνομα τὸ πρὶν ἀράξας.

6.

Παρθένος, ἣ Κιλίκων εἶχεν ἀνακτορίην,
ἀγχίγαμος δ' ἔπελεν, καθαρῷ δ' ἐπεμαίνετο Κύδνῳ,
Κύπριδος ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη,
εἰςόκε μιν Κύπρις πηγὴν θέτο, μῖξε δ' ἔρωτι
Κύδνου καὶ Νύμφης ὑδατόεντα γάμον.

τὸ ἁρπάζειν τὰς φρένας. Vide de Crinagora carmine, poetae cognomini dedicato, Meinekium Euphor. 24. et de voce ἅρπυς aliisqué a Parthenio novatis eundem 48., ubi Parthenio expressum esse illud Propertii statuit: *Et caput impositis pressit Amor pedibus.*

Fr. 5. Scholl. Dionys. Perieg. 456. Ἀπὸ τῆς ἀγριελαίου Φοίνικες ὠνόμαζον Γάδειρα, καὶ ἐνταῦθά εἰσιν αἱ στῆλαι τοῦ Ἡρακλέος. — Ὁ δὲ Παρθένιος Βριάρεω τὰς στήλας φησὶν εἶναι· Μάρτυρα δ' ἄμμιν τὴν ἐπὶ Γάδειρα λίπε θυμὸν ἀρχαίου Βριάρεω ἀπ' οὔνομα τὸ πρὶν ἄρξας. Quae eximie sanavit Hermannus Zimmermann. Diar. Philoll. 1836, 66. p. 531. Consentit Aristoteles Aeliani V. H. V, 3. Ἀριστοτέλης τὰς νῦν Ἡρακλείους στήλας καλουμένας, πρὶν ἢ κληθῆναι τοῦτο, φησὶ Βριάρεω καλεῖσθαι αὐτάς. Bergkius in Zimmermann. Diar. Philoll. 1837, 55. p. 456. κάλλιπε θεσμοσύνην. Idem tertio versu, ubi Hermanno Βριαρεῶο dedit, Βριάρηο scribit cll. Et. M. 213, 23. Βριάρηο· οἷον Βριάρηο κόρα· ἔστι Βριάρηος ἡ εὐθεῖα ὡς μονῆρες, ἡ γενικὴ Βριαρήου, καὶ Θετταλικὴ γενικὴ Βριαρήοιο καὶ συγκοπῇ Βριάρηο. Illud simile est formis Πετεῶο, Πηνελέωο, Ταλαῶο, Buttm. Gr. Max. I, 158.

Fr. 6. Eustathius in Iliad. 327, 35. (248, 39.) Καὶ κώμη Κιλικίας ἐστὶ Γλαφύραι καλουμένη, ἀπέχουσα Ταρσοῦ τριάκοντα σταδίους πρὸς δύσιν, ἐν ᾗ πηγὴ ἀπὸ ῥωγάδος καταῤῥέουσα καὶ συνιοῦσα τῷ εἰς Ταρσὸν εἰςβάλλοντι ποταμῷ. περὶ ἧς Παρθένιος γράφων ἄλλα τε λέγει καὶ ὅτι παρθένος Κιλίκων ἀνακτορίην ἔχουσα ἀγχίγαμος πέλε κτλ. Conformavit Hermannus apud Zimmermann. l. c.